DE INFINITIVI LINGVAE GRAECAE VVLGARIS FORMA ET VSV.

AD SVMMOS IN PHILOSOPHIA HONORES

AB AMPLISSIMO

PHILOSOPHORVM ORDINE

ACADEMIAE WILHELMAE ARGENTINENSIS

RITE IMPETRANDOS

SCRIPSIT

GEORGIVS CONSTANTINIDES

MACEDO

ARGENTORATI

APVD CAROLVM I. TRVEBNER.

MDCCCLXXVIII.

Περὶ τῆς χρήσεως τῆς ἀπαρεμφάτου ἐν τῇ νεωτέρᾳ δημώδει ἑλληνικῇ γλώσσῃ.

Τῶν ζητημάτων τῆς ἐγκρίτου φιλολογίας, τῶν μήπω δεόντως ἠρευνημένων, οὐδενὸς δήπου δεύτερον τῇ σπουδαιότητι ὑπάρχει ἡ ἱστορία τῆς ἑλληνικῆς γλώσσης, ἡ ἔρευνα δῆλον ὅτι καὶ ἐξιστόρησις τῆς ἐν τόπῳ καὶ χρόνῳ ποικίλης ἀναπτύξεως καὶ διαπλάσεως αὐτῆς ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων μέχρι τῶν καθ' ἡμᾶς. Πρὸς τοιαύτης δέ γε ἱστορίας συγγραφὴν ἀναγκαῖον σύμπαντα τὸν ὁπωσδήποτε περισωθέντα ἡμῖν γλωσσικὸν πλοῦτον περισυναγαγεῖν, ᾧ χρωμένους τόν τε κορμὸν τῆς σύμπαντι τῷ Ἑλληνικῷ κοινῆς γλώσσης καθορίσαι καὶ τὰς ἐξ αὐτοῦ τῷ χρόνῳ προελθούσας ποικίλας διαλεκτικὰς ἰδιομόρφους ἀποφύσεις διακρῖναι, ἔτι δὲ τὰς τούτων πρὸς ἀλλήλας, πρὸς τὴν κοινὴν ἢ καθολικὴν ἑλληνικὴν καὶ πρὸς τὰς συγγενεῖς ἰνδογερμανικὰς γλώσσας σχέσεις τε καὶ διαφοράς, τάς τε φθογγικὰς καὶ τὰς τυπικὰς καὶ συντακτικάς, ἐξευρεῖν πειρᾶσθαι. Οὔτε μέντοι περὶ πασῶν τῶν ἐποχῶν οὔτε περὶ πασῶν τῶν διαλέκτων τῆς ἑλληνικῆς γλώσσης γεγόνασί πω τοιαῦται ἔρευναι, ἀλλὰ περί τινων μὲν πλείω γέγραπται, περί τινων δ' ἐλάττω, περὶ οὐδεμιᾶς δ' ἀρκοῦντα καὶ τὸ πρᾶγμα ἐξαντλοῦντα. Περὶ μὲν γὰρ τῆς μέχρις Ἀλεξάνδρου τοῦ μεγάλου ἑλληνίδος πλεῖστά τε γέγραπται κἀκείνη ἀκριβέστερον ἠρεύνηται, καίπερ πολλῶν ἔτι συλλογῆς καὶ ἐρεύνης δεομένων, ἡ δὲ μετ' Ἀλέξανδρον ἐπικρατήσασα κοινὴ καὶ αἱ λοιπαὶ τότε παραχθεῖσαι διάλεκτοι τῶν καλουμένων ἑλληνιστῶν καὶ καθ'

ὅλου ἡ ἀπ' Ἀλεξάνδρου μέχρι που τοῦ ἕκτου χριστιανικοῦ αἰῶνος γλῶσσα ἧττον ἀκριβῶς ἐξήτασται καὶ πλείω τὰ ἐρευνητέα, πλεῖστα δὲ τὰ τῆς ἑλληνίδος τοῦ μέσου αἰῶνος καὶ τῶν ὑστάτων, μέχρι τοῦ νῦν καθηκόντων, χρόνων, ἐρεύνης δεόμενα· τὰ γὰρ περὶ ταύτης γεγραμμένα ἐλάχιστά τε καὶ πάντη ἀνεπαρκῆ τυγχάνει ὄντα.

Ἀγαθῇ τύχῃ ἤρξατο ἤδη ἐπαισθητὴ γιγνομένη ἡ ἀνάγκη τῆς τοιαύτης συστηματικῆς ἐρεύνης καὶ ἐξιστορήσεως καὶ ταύτης τῆς γλώσσης καὶ ἐν πάσαις μὲν αὐτῆς ταῖς ἐποχαῖς, μάλιστα δ' ἐν ταῖς ἀγνωστοτέραις καί σκοτεινοτέραις, τῇ τοῦ μέσου αἰῶνος καὶ τῶν ὑστάτων χρόνων. Ἀληθῶς μὲν οὖν ἡ σπουδὴ καὶ μελέτη τῆς νεωτέρας δημώδους ἑλληνικῆς, τῆς ὑπὸ τοῦ πλήθους λαλουμένης καὶ ζώσης καὶ οὐ τῆς ὑπὸ τῶν λογίων γραφομένης ἀρχαϊζούσης, ἀπὸ τῶν σταυροφοριῶν δοκεῖ ἄρξασθαι, καὶ δὴ ἀπὸ τῆς ἐπὶ τῶν ἑλληνικῶν χωρῶν φραγκοκρατίας (Δ'. σταυροφορ., 1204 καὶ ἑξῆς), ὅτε πολλοὶ τῶν ἐκ τῆς ἑσπερίας καὶ βορείου Εὐρώπης εἰς τὰς ἑλληνικὰς χώρας μεταβαίνοντες κἀκεῖ διατρίβοντες τῆς ἑλληνικῆς γλώσσης, ὡς εἰκός, ἐπεμελοῦντο. Γραμματικαὶ μέντοι καὶ λεξικὰ καὶ παρόμοια πρὸς ἐκμάθησιν αὐτῆς βοηθήματα ἀρχαιότερα τοῦ δεκάτου πέμπτου αἰῶνος οὐ περισέσωσται ἄχρις ἡμῶν. αἱ δ' ἀπὸ τοῦ αἰῶνος ἐκείνου καὶ ἐφεξῆς ὑπάρχουσαι γλωσσικαὶ ἔρευναι πᾶσαι σχεδόν, ἐξαιρουμένου τοῦ πολυτίμου γλωσσαρίου τοῦ Δουκαγγίου, λίαν ἀτελεῖς κἀν τοῖς πλείστοις ἡμαρτημέναι εἰσίν, ἱστορικὴν μόνην τανῦν ἀξίαν κεκτημέναι. πάντες γὰρ οἱ γραμματικὰς τῆς τότε δημώδους γράφοντες ηὐτοσχεδίαζον αὐτὰς διὰ τὸ μὴ ἐξετάζεσθαι τέως μηδὲ μελετᾶσθαι γραμματικῶς ἢ μόνην τὴν ἀρχαίαν ἑλληνικήν. Πρῶτος δὲ πάντων διεξοδικὰς καὶ σπουδαίας ἐρεύνας περὶ τῆς νεωτέρας δημώδους ἑλληνικῆς ἐποιήσατο περὶ τὰς ἀρχὰς τοῦ παρόντος αἰῶνος Ἀδαμάντιος ὁ Κοραῆς (ἐν Ἀτάκτων τόμ. Α'., Β'., Δ'., Ε'., ΣΤ'., Ζ'. καὶ πολλαχοῦ τῶν προλεγομένων αὐτοῦ εἰς τὰς ἐκδόσεις Ἑλλήνων συγγραφέων). Οὗτος πρῶτος τὰς πολλὰς καὶ ποικίλας ἀρετὰς τῆς τέως περιφρονουμένης δημώδους γλώσσης κατιδὼν ἀπεφήνατο ὑπὲρ τῆς καλλιεργείας καὶ προτι-

μήσεως αὐτῆς ἐν τῷ συγγράφειν ἀντὶ τῆς τέως παρὰ τοῖς λογίοις τῶν Ἑλλήνων ἐν χρήσει ἀρχαίας, ἢ μᾶλλον ἀρχαϊζούσης, ἡ δὲ γνώμη αὕτη μετὰ μακρὰς καὶ σφοδρὰς συζητήσεις καὶ ἔριδας ἐν τέλει ἐπεκράτησε παρὰ τοῖς Ἕλλησι καὶ ἔκτοτε ἤρξαντο γράφεσθαι παρὰ τῶν λογίων παντὸς ἔθνους πολλὰ μᾶλλον ἢ ἧττον λόγου ἄξια περὶ τῆς δημώδους ἑλληνικῆς, ὧν τὰ συστηματικώτερα, τελειότερα καὶ σπουδαιότερά ἐστι τὰ τοῦ Μουλλαχίου καὶ Μαυροφρύδου, καίπερ μηδὲ ταῦτα στερούμενα πολλῶν καὶ μεγάλων ἐλλείψεων[1]. Μάλιστα δὲ ζωηρὰ καὶ σύντονος ἀπέβη ἡ μελέτη καὶ ἔρευνα τῆς δημώδους ἑλληνικῆς κατὰ τὰς δύο παρελθούσας δεκαετηρίδας ἔν τε τῇ Ἑλλάδι καὶ ἀλλαχοῦ, πολλῶν λογίων καὶ εταιριῶν δραστηρίως ἀσχολουμένων περί τε τὴν συλλογὴν τῆς γραπτῆς καὶ τῆς, ὡς εἰπεῖν, ἐν τῷ στόματι τοῦ ἑλληνικοῦ λαοῦ ζώσης γλωσσικῆς ὕλης καὶ περὶ τὴν γραμματικὴν ἔρευ-

---

1) F. W. A. Mullach, Demetrii Zeni paraphrasis Batrachomyomachiae ... etc. Berolini 1837. — Conjectaneorum byzantinorum libri duo. Berolini 1852. — Grammatik der gr. Vulgärsprache. Berlin 1856. — Griechische Sprache und Dialecte, ἐν Allgemeine Encyklop. der Wissenschaften und Künste τῶν Ersch u. Gruber, Sect. I, Theil 81. — *Δημητρίου Μαυροφρύδου, Δοκίμιον ἱστορίας τῆς ἑλληνικῆς γλώσσης. ἐν Σμύρνῃ* 1871. Ὁ Mullach (Gramm. d. gr. Sprache, σ. 104 ἑπ.) καὶ ὁ Emile Legrand (Nicolas Sophianos, Grammaire du grec vulgaire etc. 2. edit., Paris 1874. *ἐν τῷ προλόγῳ) σημειοῦσι τοὺς μέχρι πρὸ ὀλίγων ἐτῶν περὶ τὴν δημώδη ἑλληνικὴν ἀσχοληθέντας, οἷς προσθετέον καὶ τάδε τὰ συγγράμματα. Ἀθανασίου Χριστοπούλου, Αἰολοδωρικὴ γραμματική. Βιέννα.* 1805. *Ἑλληνικὰ ἀρχαιολογήματα. Ἀθῆναι.* 1853. *Ἀνδρέου Μουστοξύδου, Παρατηρήσεις ἐπὶ τῆς παρούσης ἑλληνικῆς γλώσσης. Ζάκυνθος.* 1851. E. Curtius, Das Neugriechische in seiner Bedeutung für das Altgriechische sowie für die vergleichende Sprachkunde. 1857. *Κωνσταντίνου Σάθα, Ἱστορία τῆς νεοελληνικῆς γλώσσης. Ἀθῆναι.* 1868. G. Curtius, Zur Aussprache der gr. Diphthongen *αι* und *οι*, ἐν Studien zur gr. und lat. Grammatik. I. Bd. 2. Heft σ. 273—286. Mich. Deffner, Neograeca, ἐν Studien κ. τ. λ. IV. Bd. 2. Heft, σ. 232—322. N. Chalkiopulos, De sonorum affectionibus quae percipiuntur in dialecto neolocrica, ἐν Studien κ. τ. λ. V. Bd. σ. 339—375. *ἔτι δὲ τὰς ὑπὸ Α. Βλάχου γερμανιστί, ὑπὸ Α. Ρ. Ῥαγκαβῆ γαλλιστὶ καὶ ἐσχάτως ὑπὸ Γιανναράκη γερμανιστὶ συγγραφείσας γραμματικὰς τῆς νεωτέρας ἑλληνικῆς* κ. τ. λ. κ. τ. λ.

ναν αὐτῆς[1]), ὥστε δικαίως ἄν τις ἐλπίσειεν οὐκ εἰς μακρὰν παρασκευασθήσεσθαι τἀναγκαῖα πρὸς συγγραφὴν ἱστορίας τῆς ἑλληνικῆς γλώσσης ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων μέχρι τῶν καθ' ἡμᾶς.

Ἵνα δὲ προσηκόντως χρήσιμοι ἀποβῶσιν αἱ κατ' ἐποχὰς τῆς γλώσσης ἔρευναι πρὸς συγγραφὴν γενικῆς καὶ τελείας αὐτῆς ἱστορίας, χρὴ τοὺς ἐρευνῶντας ἀπὸ τῶνδε τῶν δύο ἀφορμᾶσθαι ἀρχῶν. πρῶτον μέν, ὡς ἡ γραφομένη γλῶσσα μέχρι που τοῦ δεκάτου χριστιανικοῦ αἰῶνος ἀεὶ τῆς λαλουμένης διέφερε μάλιστα μέν, ὡς εἰκός, τῇ συντάξει, οὐ μὴν ἀλλὰ καὶ τοῖς φθόγγοις καὶ τύποις, ἐξαιρουμένων ἴσως μέχρι τινὸς ἐπιτυμβίων τινῶν ἐπιγραφῶν, διαθηκῶν, ἐπιστολῶν καὶ τῆς παρὰ τοῖς ἑλληνίζουσι λαοῖς γλώσσης καὶ μάλιστα ἀπὸ τοῦ τρίτου πρὸ Χριστοῦ αἰῶνος καὶ ἑξῆς, ἀφ' ὅτου οὐκ ὀλίγα ἡμῖν περισέσωσται ἐν ἐπιγραφαῖς καὶ παπύροις, δημώδη πάντη καὶ ἀπερίτεχνα τὴν γλῶσσαν ὄντα. δεύτερον δέ, ὡς ἡ νῦν δημώδης ἑλληνικὴ οὔτε παραφυάς ἐστιν οὔτ' ἀδελφὴ γλῶσσα τῆς ἀρχαίας, ἀλλ' αὐτὴ ἡ ὑπὸ τοῦ συνόλου τῶν Ἑλλήνων λαλουμένη ἀρχαία, δῆλον ὅτι ὑποστᾶσα τὰς φύσει παρεπομένας καὶ ἀναγκαίως τῷ χρόνῳ ἐπελθούσας φθογγικάς, τυπικὰς καὶ συντακτικὰς μεταβολὰς καὶ ἀλλοιώσεις. Ἔτι δὲ καὶ τὰς ἐρεύνας διαιρετέον καὶ τὴν γλῶσσαν χωρὶς μὲν φθογγολογικῶς, χωρὶς δὲ τυπικῶς καὶ συντακτικῶς ἐξεταστέον· οὕτω γὰρ ἄν τις ἄριστα καὶ ὀρθότατα τὴν κατὰ τὸν μέσον αἰῶνα καὶ τοὺς ὑστάτους χρόνους ἑλληνίδα κρίνοι τάς τ' αἰτίας τῶν μεταβολῶν εὐχερέστερον κατίδοι.

Εἰς τὴν τοιαύτην οὖν τῆς ἑλληνικῆς γλώσσης ἔρευναν μικρόν τι συμβαλέσθαι προθυμούμενος πειράσομαι παρακο-

---

1) *Σημειωτέον τὴν Μεσαιωνικὴν βιβλιοθήκην ὑπὸ* K. Σάθα *ἐκδιδομένην, τὴν ὑπὸ* Emile Legrand Collection de monuments pour servir à l'étude de la langue néo-hellénique, *τὴν ἀρχαιοτέραν πως συλλογὴν* Miklosich *καὶ* Müller Acta et diplomata graeca medii aevi, *τὴν τοῦ* W. Wagner Carmina graeca medii aevi, *τὰς ὑπὸ τῶν ἑλληνικῶν φιλολογικῶν συλλόγων Ἀθηνῶν, Κωνσταντινουπόλεως κ. τ. λ. ἐκδιδομένας συλλογὰς κ. τ. λ. κ. τ. λ.*

λουθῆσαι τὴν χρῆσιν τῆς ἀπαρεμφάτου ἐν τῇ ἑλληνικῇ γλώσσῃ ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων μέχρι τοῦ νῦν καὶ ἀποδεῖξαι τὴν ἐν τῇ χρήσει ταύτης ἐπελθοῦσαν μεταβολὴν φύσει ἐκ τοῦ πνεύματος τῆς γλώσσης προελθοῦσαν καὶ τῆς τῷ χρόνῳ μεταβολῆς τῆς διανοίας τοῦ λαλοῦντος αὐτὴν λαοῦ ἀκολουθίαν οὖσαν. Ταῦτα δὲ ποιῶν οὔτε περὶ τὰς πρώτας ἀρχὰς καὶ αἰτίας τῆς μορφώσεως τῆς ἀπαρεμφάτου ἐν τῇ ἑλληνικῇ καὶ ταῖς συγγενέσι γλώσσαις διατρίψω οὔτε τὴν ἐν τῇ ἀρχαίᾳ ἑλληνικῇ ποικίλην καὶ πολυσήμαντον αὐτῆς χρῆσιν λεπτομερῶς περιγράψω, περὶ ὧν πλεῖστα τοῖς φιλολογοῦσι καὶ σοφὰ γεγραμμένα τυγχάνει[1]), ἀλλὰ τὰς κυριωτάτας χρήσεις καὶ σημασίας, ὅσαι καὶ ἐν τῇ καθ' ἡμᾶς ἑλληνίδι τετήρηνται, ἐκλεξάμενος περιγράψω οἷαί τινές εἰσιν ἔν τε τῇ ἀρχαίᾳ καὶ τῇ νεωτέρᾳ ἑλληνικῇ· ἄσκοπον γὰρ ἂν εἴη τὴν ἐν τῇ ἀρχαίᾳ ποικίλην τῆς ἀπαρεμφάτου χρῆσιν, τὴν τῷ χρόνῳ περιορισθεῖσαν καὶ μηκέτι ἐν τῇ καθ' ἡμᾶς ἑλληνίδι σωζομένην, ἐνταῦθα ἐξετάζειν καὶ περιγράψαι.

Ἀπαρέμφατος ἢ ἀπαρέμφατον ἐκλήθη, ὡς γνωστόν, ἡ ἔγκλισις αὕτη παρὰ τῶν ἀρχαίων γραμματικῶν διὰ τὸ μὴ παρεμφαίνειν πρόσωπον μηδ' ἀριθμόν, ὄνομα δὲ ῥήματος διὰ τὸ συνενοῦν ἐν ἑαυτῇ ὀνόματος χαρακτῆρας μετὰ ῥηματικῆς διαθέσεως καὶ ἀμφότερα ταῦτ' ἀναπληροῦν, οἱονεὶ κρᾶμά τι ἐξ ἀμφοτέρων καὶ ἑρμαφρόδιτον, ὡς ἔπος εἰπεῖν, γλωσσικὸν τύπον οὖσαν[2]). Οἱ δὲ καθ' ἡμᾶς γραμ-

---

1) Εἰδικῶς περὶ ἀπαρεμφάτου ἐπραγματεύθησαν ὁ Leo Meyer, Der Infinitiv der homerischen Sprache. Göttingen 1855, ὁ Albrecht, Ueber den Acc. cum Infinit. ἐν Studien ... κ. τ. λ. τοῦ Γ. Κουρτίου, τόμ. Δ'., σ. 1—58, ὁ Fleischer, Ueber den gr. Acc. m. Infinit. Leipzig 1872, ὁ Wilhelm, De infinitivi linguarum sanscr., bactr., pers., graec., osc., umbr., lat., got. forma et usu. Eisenach 1873, ὁ F. Herzog, Die Syntax des Infinitivs ἰδίως ἐν τῇ ἑλληνικῇ καὶ λατινικῇ γλ. ἐν Neue Jahrbb. f. cl. Philol. 1873. 107, 1—33, ὁ Julius Jolly, Geschichte des Infinitivs in den indogermanischen Sprachen. München 1874. ἐκτὸς δὲ τούτων πάντες οἱ περὶ ἑλληνικῆς συντάξεως γράψαντες, ὧν προεξάρχει ὁ Kühner, Ausführliche Grammatik der gr. Sprache, ἐν Β'. τόμῳ.

2) Ὅρα ἐκτὸς ἄλλων Μαυροφρύδου Δοκίμ. ἱστορ. τ. ἑλλ. γλώσσης,

ματικοί, εὐρύτερον τὰ κατ' αὐτὴν ἐξετάζοντες καὶ τελειότερον, ὡς εἰκός, τὴν φύσιν αὐτῆς ἐρευνήσαντες, τὴν ἑλληνικὴν φασιν ἀπαρέμφατον συμπεπηγυῖαν εἶναι δοτικὴν ἢ τοπικὴν πτῶσιν· ἡ γὰρ ἀπόλυτος αὐτῆς καὶ καθαρῶς ἀπαρεμφατικὴ χρῆσις, οἷον 'ὡς εἰπεῖν', 'ὡς ἐμὲ μεμνῆσθαι' κ. τ. λ., παρ' Ὁμήρῳ μήπω ἀπαντῶσα, ὀψιγενεστέρα τυγχάνει, ἐπικρατεῖ δὲ παρά τῷ ποιητῇ ἡ τελικὴ σημασία, ἡ τέρμα κινήσεως δηλοῦσα, ἥτις καὶ διὰ τῶν πτώσεων δοτικῆς, αἰτιατικῆς (καὶ τοπικῆς πρότερον) ἐκφράζεται· ἔτι δὲ τὸ τῆς δοτικῆς (καὶ τοπικῆς;) χαρακτηριστικὸν γράμμα ι παρ' οὐδεμιᾷ τῶν ἀρχικῶν καταλήξεων τῆς ἑλληνικῆς ἀπαρεμφάτου ἐλλείπει[1]. Ἀλλ' ὅπως ποτ' ἂν ᾖ, βέβαιόν ἐστιν ἐν τῇ ἑλληνικῇ γλώσσῃ τὸ ἀπαρέμφατον διπλῆν ἐκπληροῦν γλωσσικὴν χρείαν, ὁτὲ μὲν ὡς ῥῆμα, ὁτὲ δ' ὡς ὄνομα ὂν ἐν χρήσει.

Καὶ ὀνοματικὸν μὲν ὂν τὸ ἀπαρέμφατον κυριώτατα εἴωθε τίθεσθαι ἐν τῷ λόγῳ εἴτε ὡς ὑποκείμενον ἢ ὀνομαστικὸν μετὰ ἢ ἄνευ ἄρθρου· οἷον, Ἰλ. Π, 415, οὐ μὰν ἧμιν ἐυκλεὲς ἀπονέεσθαι. Ὀδ. Φ, 154, ἑπ., ἐπεί οἱ πολὺ φέρτερόν ἐστι τεθνάμεν ἢ ζώοντας ἁμαρτεῖν. Ξενοφ. Κ. Π. 8, 3, 42, οὐχ οὕτως ἡδὺ τὸ ἔχειν χρήματα, ὡς ἀνιαρὸν τὸ ἀποβάλλειν. εἴτε ὡς ἀντικείμενον ἢ αἰτιατικόν· οἷον, Ἰλ. Η, 93,

Αἴδεσθεν μὲν ἀνήνασθαι δεῖσαν δ' ὑποδέχθαι. κ. τ. λ. οὐ μὴν ἀλλὰ καὶ ἐν ἄλλαις πτώσεσι τίθεται μετὰ τοῦ ἄρθρου ἀντὶ ὀνομάτων. — Ῥηματικὸν δ' ὂν ποικιλωτέραν ἔχει τὴν χρῆσιν καὶ σημασίαν. Πρώτη, παρ' Ὁμήρῳ συνηθεστάτη, διὸ ἴσως καὶ ἀρχαιοτέρα σημασία τοῦ ῥηματικοῦ ἀπαρεμφάτου ἐστὶν ἡ τελική, ἡ τέρμα κινήσεως καὶ γενικώτερον σκοπὸν δηλοῦσα· οἷον, Ἰλ. Σ, 374, τρίποδας ἔτευχεν ἱστάμεναι = εἰς στάσιν, ἵνα στῶσιν. Ὀδ. Β, 147, αἰετὼ — προέηκε πέτεσθαι. Α, 138, χέρνιβα ἐπέχευε

σ. 439—440 καὶ J. Jolly, Gesch. d. Infinitivs σ. 47 ἑπ., ἰδίως δὲ 49 ἑπ.

[1] Παράβαλε J. Jolly, Gesch. d. Inf. σ. 14 ἑπ.

νίψασθαι = ἵνα νίψηται. Ἰλ. Η, 149, δῶκε τεύχεα φορῆναι = ἵνα φοροίη. Εὐριπ. Φοίν. 25, δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος κ. τ. λ. κ. τ. λ. — Δευτέρα δὲ ῥηματικὴ τῆς ἀπαρεμφάτου σημασία ἐστὶν ἡ εἰδική, ἐν ᾗ ἡ ἀπαρέμφατος ἰσοδυναμεῖ ὑποτακτικῇ ἢ εὐκτικῇ μετὰ τοῦ ὅτι καὶ ὡς· οἷον, Ἰλ. Δ, 289, οὐ πείσεσθαι ὀΐω πρβ. 427. Ν, 747. ἐφάμην ἂψ ἀπονοστήσειν = ὅτι ἢ ὡς οὐ πείσονται, ὅτι ἢ ὡς ἂψ ἀπονοστήσει. Θουκ. 1, 118, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. Δημοσθ. Φιλιππ. Γ΄. § 74, εἰ δ᾽ οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα σώσειν ἢ Μεγαρέας, ὑμεῖς δ᾽ ἀποδράσεσθαι τὰ πράγματα, οὐκ ὀρθῶς οἴεσθε. κ. τ. λ. — Τρίτη δ᾽ ἡ δυναμικὴ τυγχάνει, τῆς ἀπαρεμφάτου ἰσοδυναμούσης δοτικῇ· οἷον, Ἰλ. Ξ, 460, ἀριστεύεσκε μάχεσθαι = τῇ μάχῃ. Ὀδ. Ο, 321 ἐπ.,

Δρηστοσύνῃ οὐκ ἄν μοι ἐρίσσειε βροτὸς ἄλλος,
πῦρ τ᾽ εὖ νηῆσαι, διά τε ξύλα δανὰ κεάσσαι,
δαιτρεῦσαί τε καὶ ὀπτῆσαι καὶ οἰνοχοῆσαι.

Ὀδ. Β, 158—9, ... ὁ γὰρ οἶος ὁμηλικίην ἐκέκαστο

Ὄρνιθας γνῶναι καὶ ἐναίσιμα μυθήσασθαι

= γνώσει καὶ μύθῳ, καθάπερ παρὰ Θουκυδίδῃ 1, 138, 3, φύσεως δυνάμει μελέτης δὲ βραχύτητι κράτιστος δὴ οὗτος (Θεμιστοκλῆς) αὐτοσχεδιάζειν τὰ δέοντα· πρβ. Λυσίου 2, 48, Θεμιστοκλῆς ἱκανώτατος ἦν εἰπεῖν καὶ γνῶναι καὶ πρᾶξαι· Πολυβ. Δ΄, 8, καὶ γὰρ εἰπεῖν καὶ διανοηθῆναι καὶ στέξαι τὸ κριθὲν ἱκανός. κ. τ. λ. — Τετάρτη δ᾽ ἐστὶν ἡ τῆς εὐχῆς σημασία, τῆς ἀπαρεμφάτου ἀντὶ ἀπολύτου εὐκτικῆς τιθεμένης· οἷον, Ὀδ. Ρ, 354—5,

Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι,
καί οἱ πάντα γένοιθ᾽, ὅσσα φρεσὶν ᾗσι μενοινᾷ.

Ἡροδ. Ε΄, 105, ὦ Ζεῦ, ἐκγενέσθαι μοι Ἀθηναίους τισασθαι· Ἀριστοφ. Ἀχαρν. 816,

Ἑρμᾶ ᾽μπολαῖε, τὰν γυναῖκα τὰν ἐμὰν
οὕτω μ᾽ ἀποδόσθαι τάν τ᾽ ἐμωυτῶ ματέρα. κ. τ. λ.

— Πέμπτη δ᾽ ἡ τῆς προσταγῆς, τῆς ἀπαρεμφάτου ἀντὶ προστακτικῆς τιθεμένης· οἷον, Ἰλ. Γ, 458—9,

ὑμεῖς δ᾽ Ἀργείην Ἑλένην καὶ κτήμαθ᾽ ἅμ᾽ αὐτῇ
ἔκδοτε καὶ τιμὴν ἀποτινέμεν, ἥντιν᾽ ἔοικεν.
πρβ. Ὀδ. Λ, 284 ἑπ., 291—2. Σ, 106,
μηδὲ σύ γε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι.
Πλάτωνος Κρατύλ. σελ. 426 Β. Νόμ. 6, σελ. 760...

Ἕκτη δὲ τῆς ἀπαρεμφάτου χρῆσίς ἐστιν ἡ, ὡς εἴρηται, παρ᾽ Ὁμήρῳ μήπω ἀπαντῶσα καὶ ὀψιγενεστέρα ἀπόλυτος· οἷον, ὡς ἔπος εἰπεῖν, ὡς ἐμὲ μεμνῆσθαι. κ. τ. λ. καὶ ἑβδόμη ἡ μετὰ τοῦ ὥστε προτασσομένου ἐν ποικίλῃ σημασίᾳ· οἷον, Ἡροδ. Γ΄., 14, συνένεικε ὥστε παριέναι. κ. τ. λ. Ἑτέρας δὲ πλείονας ἔτι χρήσεις καὶ ποικιλίας σημασιῶν τῆς ἑλληνικῆς ἀπαρεμφάτου, συνήθεις παρὰ τῇ ἀρχαίᾳ ἑλληνίδι, παραλείπω ἐνταῦθα διὰ τὸ μὴ περισεσῶσθαι αὐτὰς ἐν τῇ καθ᾽ ἡμᾶς ἑλληνίδι παραπέμπων τοὺς βουλομένους ταύτας μαθεῖν εἰς τὰς ἐν τῷ ἔμπροσθεν λόγῳ σεσημειωμένας πραγματείας (σελ. 6, σημ. 1.).

Τοσαύτας τοίνυν καὶ τοιαύτας ἐμφαίνουσα ἡ ἑλληνικὴ ἀπαρέμφατος σημασίας καὶ οὐ μόνον ὀνόματος θέσιν καταλαβοῦσα, ἀλλὰ καὶ πάσας τὰς λοιπὰς ἐγκλίσεις ἐκτὸς τῆς μετοχῆς ἀναπληροῦσα, ἔτι δὲ τῆς μὲν πλήρους καταλήξεως τῷ χρόνῳ ἀποτριβομένης καὶ ἀλλοιουμένης[1]), τῆς δ᾽ ἀρχικῆς αὐτῆς σημασίας ἀμυδρουμένης, ταχέως καὶ ῥαδίως ἀσαφείᾳ περιέπεσε καὶ δύσχρηστος ἀπέβη, οὔτε τῆς ἑκάστοτε σημασίας οὔτε τῆς ἐγκλίσεως ἢ τοῦ ἁρμοδίου προσώπου διὰ τοῦ αὐτοῦ ἀεὶ γλωσσικοῦ τύπου εὐχερῶς καὶ σαφῶς δηλουμένων· ὥστ᾽ ἐξ ἀρχῆς ἤδη τὸ μὲν σαφηνείας, τὸ δὲ ποικιλίας, τὸ δὲ πλεῖστον εὐκολίας χάριν ἀπαρεμφατικὰς εὐνοίας περιφράζειν ἤρξαντο οἱ Ἕλληνες, ἀντὶ μὲν τελικῶν ἀπαρεμφάτων ὑποτακτικῇ ἢ εὐκτικῇ μετὰ τῶν μορίων ὄφρα, ὅπως, ὡς, ἵνα, ἀντὶ δ᾽ εἰδικῶν ὁριστικῇ ἢ εὐκτικῇ μετὰ τῶν ὅ (παρ᾽ Ὁμήρῳ), ὅτι, ὡς, ἐνίοτε ὅπως, οὕνεκα (παρ᾽ ἐπικοῖς), ὁθούνεκα (παρὰ

1) Οἷον ἐκ τῶν τεσσάρων ἀρχικῶν καταλήξεων μεναι, εναι, αι, σθαι, μόναι αἱ δύο τελευταῖαι ἀλώβητοι τετήρηνται, αἱ δ᾽ ἕτεραι δύο εἰς μεν, μειν, εν, ην, ειν ἀπετρίβησαν.

τραγικοῖς) καὶ διότι (παρ' Ἡροδότῳ τὸ πρῶτον ἐμφανιζομένου) καὶ ἀντὶ ἄλλων ἄλλαις περιφράσεσι χρώμενοι. Τοῦ δὲ χρόνου προϊόντος καὶ τῶν περιφράσεων, ὡς εἰκός, εὐχρηστοτέρων καθισταμένων, μάλιστα δὲ παρὰ τοῖς πολλοῖς καὶ ἀπαιδευτοτέροις, ἡ τῆς ἁπλῆς ἀπαρεμφάτου χρῆσις ἐπὶ μᾶλλον περιωρίζετο, ὡς ἄν τις ἐκ τῆς ἐν τῇ δημωδεστέρᾳ καὶ ἀπεριτέχνῳ γλώσσῃ τῆς Νέας Διαθήκης χρήσεως εἰκάσειεν, ἐν ᾗ ἡ χρῆσις περιφράσεων ἀνθ' ἁπλῶν ἀπαρεμφάτων συχνοτάτη τυγχάνει οὖσα. Οἱ περιτέχνῳ μέντοι καὶ ἐκλεκτοτέρᾳ γλώσσῃ χρώμενοι συγγραφεῖς καὶ ποιηταὶ ἄχρι που τοῦ ἕκτου χριστιανικοῦ αἰῶνος ἔστιν ὅτε καὶ σπανιώτερον ταῖς περιφράσεσι χρῶνται, τὸ δὲ πλεῖστον τὴν ἁπλῆν ἀπαρέμφατον προτιμῶσιν, ὑπὸ τῶν Ἀττικιστῶν ἴσως ἀναχαιτιζόμενοι, ἀλλ' ἀπὸ τῆς ὑπὸ Ἰουστινιανοῦ τοῦ πρώτου ἐν τῷ ἕκτῳ αἰῶνι καταργήσεως τῶν ἑλληνικῶν σχολῶν καὶ ἀπαγορεύσεως τῆς τῶν ἀρχαίων Ἑλλήνων φιλοσοφίας καὶ παιδείας καὶ ἡ γλῶσσα παρημελήθη, καθολικὴ δ' ἐπεκράτησεν ἀμάθεια, ὥστε καὶ ἡ τῶν περιφράσεων τῆς ἀπαρεμφάτου χρῆσις συχνοτέρα τε καὶ ἁπλουστέρα ἀπέβαινε, μέχρις οὗ ἀπὸ τοῦ δεκάτου αἰῶνος ἡ μὲν τοῦ ἁπλοῦ ῥ η μ α τ ι κ ο ῦ ἀπαρεμφάτου χρῆσις τὰ μέγιστα ἠλάττωται διὰ τὴν χρῆσιν καὶ τῆς δημώδους γλώσσης ἐν τῇ ποιήσει, ἐν δὲ τῷ δεκάτῳ ἕκτῳ πάντῃ ἐξέλιπεν ἐκ τῆς δημώδους· ἡ δὲ τοῦ ἁπλοῦ ὀ ν ο μ α τ ι κ ο ῦ ἀπαρεμφάτου χρῆσις περιώρισται μὲν ὡσαύτως λίαν, ἀλλ' οὐκ ἐξέλιπε παντελῶς, τῶν Ἑλλήνων ἔτι καὶ νῦν ἁπλοῖς ὀνοματικοῖς ἀπαρεμφάτοις ἔστιν ὅτε χρωμένων. Ὡς δὲ ταῦθ' οὕτως ἔχει, πειράσομαι ἀποδεῖξαι ἐφεξῆς ἐρευνῶν τὴν χρῆσιν τῆς ἀπαρεμφάτου κατὰ τὰς ἔμπροσθεν δεδηλωμένας σημασίας καὶ ἐν διαφόροις ἐποχαῖς συγκριτικῶς ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων μέχρι τῶν καθ' ἡμᾶς. Προσέξω δ' ἐν τῇ ἐρεύνῃ ταύτῃ οὐ πᾶσι τοῖς ἡμῖν διασωθεῖσι ποιηταῖς καὶ συγγραφεῦσιν, ἀλλά τισι, τοῖς ἐπιτηδειοτέροις πρὸς γνῶσιν τῆς ἐν χρόνῳ διαπλάσεως καὶ ἀλλοιώσεως τῆς ἑλληνικῆς γλώσσης καὶ τῆς ἐν τῇ χρήσει τῆς ἀπαρεμφάτου ἐπελθούσης μεταβολῆς, ἀρξάμενος ἀπὸ τῆς ἐξετάσεως τῆς τ ε λ ι κ ῆ ς ἀπαρεμφάτου.

Τελικῆς μὲν οὖν ἀπαρεμφάτου ἔννοια περιφράζεται ἐν τοῖσδε τοῖς ὁμηρικοῖς χωρίοις. Ἰλ. Α, 133—4,

Ἦ ἐθέλεις ὄφρ᾽ αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ᾽ αὔτως
ἧσθαι δευόμενον, κέλεαι δέ με τήνδ᾽ ἀποδοῦναι;

523, ἐμοὶ δὲ καὶ ταῦτα μελήσεται ὄφρα τελέσσω. Δ, 465,

ἕλκε δ᾽ ὑπὲκ βελέων λελιημένος ὄφρα τάχιστα
τεύχεα συλήσειε . . .

παράβαλε Ε, 650—1. Ζ, 361. Ι, 181. Φ, 137. Ὀδ. Ρ, 362—3. Σ, 54. Χ, 51 3. Ι, 327. Μετὰ δὲ τὰ ῥήματα *φράζεσθαι*, *πειρᾶν*, *λίσσεσθαι* καὶ τὰ ὅμοια τίθεται παρ᾽ Ὁμήρῳ ὡσαύτως ὁτὲ μὲν ἁπλῆ ἀπαρέμφατος, ὁτὲ δὲ περίφρασις αὐτῆς καθ᾽ ὑποτακτικὴν ἢ εὐτικὴν μετὰ τῶν μορίων *ὅπως* (κε) καὶ *ὥς* (κε), τροπικώτερον μέν πως τὴν τῆς ἀπαρεμφάτου ἔννοιαν δηλούντων, πάντως ὅμως καὶ *τέλος* ἢ *σκοπόν* τινα συνυποσημαινόντων· οἷον, Ὀδ. Α, 205,

Φράσσεται ὥς κε *νέηται*, ἐπεὶ πολυμήχανός ἐστιν.

πρβ. Ὀδ. Α, 76—7. 234—36. Β, 168. 367—8. 316,

πειρήσω ὥς κ᾽ ὔμμι κακὰς ἐπὶ κῆρας *ἰήλω*

πρβ. Ἰλ. Ι, 182. Δ, 545. κ. τ. λ. κ. τ. λ.

Οὐχ ἧττον δ᾽ εἴθισται τελικῶν ἀπαρεμφάτων ἀνάλυσις ἢ περίφρασις παρὰ τοῖς μεθ᾽ Ὅμηρον. Παρ᾽ Ἀττικοῖς μετὰ *κίνησιν* δηλοῦντα ῥήματα εἴθισται εἴτε ἀπαρέμφατος εἴτε μετοχὴ μέλλοντος εἴτε ἀνάλυσις ἀπαρεμφάτου καθ᾽ ὑποτακτικὴν ἢ εὐκτικὴν μετὰ τῶν μορίων *ἵνα*, *ὡς* (ἄν), *ὅπως* (ἄν), ὡσαύτως δ᾽ εἴθισται ἀνάλυσις καὶ μετὰ ῥήματα *βουλήσεως* καθ᾽ ὅλου σημαντικά [1]· ἡ αὐτὴ δὲ χρῆσις ἐπικρατεῖ καὶ παρὰ τοῖς μὴ Ἀττικοῖς. Οἷον, δημοτ. ᾆσμα 34, 6 ἐκδ. Bergk,

Χὴ μὲν τὰ σεμνὰ τῆς κόρης μυστήρια
ἔρχεθ᾽ *ἵνα τελέσῃ*. — Σοφοκλ. Αἴ., 530—1,

---

1) Ὅρα σὺν ἄλλοις Kühner. Ausführliche Gramm. d. gr. Sprache. § 473. Β, 2, 6. 578—579.

κόμιζε νῦν μοι παῖδα τὸν ἐμόν, ὡς ἴδω,
δός μοι προσειπεῖν αὐτὸν ἐμφανῆ τ' ἰδεῖν.
πρβ. 538. Τραχιν. 604—606. — Εὐριπ. Βάκχ. 807,
Ξυνέθεσθε κοινῇ τάδ', ἵνα βακχεύητ' ἀεί.
Ἀριστοφ. Ἱππ. 495, ... μέμνησό νυν
δάκνειν, διαβάλλειν, τοὺς λόφους κατεσθίειν,
χὤπως τὰ κάλλαι' ἀποφαγὼν ἥξεις πάλιν.
801, οὐχ ἵνα γ' ἄρξῃ, μὰ Δί', Ἀρκαδίας προνοούμενος,
ἀλλ' ἵνα μᾶλλον
σὺ μὲν ἁρπάζῃς καὶ δωροδοκῇς παρὰ τῶν πόλεων....

925. 934. 1255. — Ἡροδ. Α', 91, προθυμεομένου δέ, ὅκως ἂν γένοιτο. Β', 126, δέεσθαι ὅκως ἂν δωρέοιτο. Γ', 44. Ε', 98, ἐπηγγέλλοντο ὅκως ἂν ἀπέλθοιεν. ΣΤ', 42, συνθήκας ποιέεσθαι, ἵνα δοσίδικοι εἶεν. — Θουκ. Γ', 51, 2, ἐβούλετο δὲ Νικίας τὴν φυλακὴν αὐτόθεν δι' ἐλάσσονος εἶναι, τούς τε Πελοποννησίους ὅπως μὴ ποιῶνται ἔκπλους . . . . τοῖς τε Μεγαρεῦσιν ἅμα μηδὲν εἰσπλεῖν. πρβ. Ε', 36. ὡσαύτως Α', 56, 1. 57, 4. 58, 1. Γ', 4, 6. 70, 1. ΣΤ', 54, 6. 88, 3 — Ξενοφ. Ἀπομν. Δ', 7, 1, αὐτάρκεις εἶναι αὐτοὺς ἐπεμελεῖτο. πρβ. Οἰκον., 8, 34, ἐπιμελεῖται ὡς ἐκτρέφηται. 20, 8. 8, 36, ἐπιμελητέον ὅπως. 8, 37. 9, 14, εἰ μὴ ἐπιμελήσεται ὅπως διαμένῃ ἑκάστῳ ἡ τάξις. 11, 8. 9. 15, 1. 20, 10. Κύρ. Παιδ. 1, 2, 3. Ἑλλην. 7, 2, σκοπῶ, ὅπως . . . διάγοιεν. Συμπ. 7, 2. — Δημοσθ. πρὸς Ζηνόθεμιν, 22—3, ἔπραττεν, ὅπως μὴ εἰσαγώγιμα δεῦρ' ἔσται . . . . . μὴ δεῦρο καταπλεῖν τὴν ναῦν ἔπραττε. — Ὀρφικ. στ. 251, νεῦσεν ὀπιπτεύων ἵνα . . . . ὀρίνω. πρβ. καὶ στ. 99. 409. 946[1].

Παρὰ δὲ τοῖς μετ' Ἀλέξανδρον συγγραφεῦσι, καὶ μάλιστα τοῖς τῇ κοινῇ χρησαμένοις, ἡ περιφραστικὴ χρῆσις τῆς τελικῆς ἀπαρεμφάτου ἔτι συχνοτέρα τυγχάνει, ὡς ἄν τις ἐκ τῶνδε ἀπὸ πλειόνων παραδειγμάτων τεκμηριώσαιτο.

---

1) Πρβ. Ἕρμαννον εἰς Ὀρφικ. σελ. 814.

Ἀριστοτ. περὶ Φυτῶν Β, 3, 825 α, 36 (ἐκδ. πρωσσικῆς Ἀκαδημίας), κωλύει τὸν χυμὸν ἵνα μὴ ἀναβαίνῃ. Β', 3, 825 α, 36, ὁ τοίνυν ἥλιος οὐκ ἔχει δύναμιν ἵνα ἀπαρτίσῃ. Β', 5, 826 b, 12, καὶ οὐκ ἔστι δύναμις ἐν τῷ ἀέρι ἵνα ὑποστήσῃ τὰ μέρη τοῦ ὕδατος. — Πολυβ. Β', 6, 8 (ἐκδ. Παρισίων τοῦ 1859), κοινῇ πειρᾶσθαι φροντίζειν ἵνα μηδὲν ἀδίκημα γίγνηται Ῥωμαίοις ἐξ Ἰλλυριῶν. Δ', 26, 3, ἔπεμψε δὲ καὶ τοῖς Αἰτωλοῖς Φίλιππος ἐπιστολὴν διασαφῶν ἵν', εἴ τι λέγειν δίκαιον ἔχουσιν...., ἔτι καὶ νῦν συνελθόντες διὰ λόγου ποιῶνται τὴν διεξαγωγήν.... εἰ δὲ...., πάντων αὐτοὺς εὐηθεστάτους εἶναι. Ε', 2, 8, φροντίζειν ἵνα μηδαμόθεν αὐτῷ χορηγία παραγίγνηται. ΣΤ'., 33, 11, τηροῦσι....τοὺς ἵππους, ἵνα μὴ.... βλάπτωνται. ΣΤ'., 35, 8, ἐπιστήσειν τοὺς φροντιοῦντας ἵνα μηδὲν αὐτὰς ἐλλείπῃ τῶν ἐπιτηδείων. — Διονυσ. Ἁλικαρν. Ῥωμ. Ἀρχ. Α', 83 (τόμ. Α', σ. 215 ἐκδ. Reiske), δεήσεσθαι τῆς θυγατρὸς τῆς σῆς ἔμελλον, ἵνα με πρὸς αὐτὴν ἀγάγοι. Δ', 12 (τόμ. Β'., σ. 666), κραυγὴ.... ἐγένετο καὶ δεήσεις...., ἵνα μένῃ τε καὶ διακατέχῃ τὰ πράγματα. — Φλαβ. Ἰωσήπ. Ἰουδ. Ἀρχ. Β', 8, προσέταξε τοῖς ἰδίοις παισίν, ἵνα τοὺς Ἰωσήπου παῖδας....εἰς τὸν αὐτὸν ἀριθμὸν προσῶνται (γραπτέον ἴσως προσθῶνται). ΣΤ', 13, 10, ἐδεήθη τοῦ βασιλέως, ἵνα καὶ τοῦτο χαρίσηται. ΣΤ', 14, 6, νόμος ἐκράτησεν, ἵνα ταὐτὰ τοῖς μαχομένοις λαμβάνωσι. Ζ', 14, 5, ἐντέταλται ἵνα εὐσεβῶς καὶ δικαίως προστῇ. Η', 14, 2, ἐντειλάμενος ἵνα δήσαντες ἀγάγωσι. Ι', 9, 1, παρακαλέσας ἵνα αὐτῷ συναπολύσῃ τὸν μαθητήν. ΙΑ', 1, 2, γράψειν ἔφη τοῖς γειτονεύουσιν ἐκείνῃ τῇ χώρᾳ.... ἵνα συμβάλωνται χρυσὸν αὐτοῖς καὶ ἄργυρον εἰς τὴν οἰκοδομίαν τοῦ ναοῦ. 5, 1, ἔγραψα δὲ καὶ τοῖς γαζοφύλαξι... ἵνα ἐπιμεληθῶσιν. ΙΒ', 2, 14, παρεκάλεσε δ' αὐτὸν καὶ διὰ τῶν ἐπιστολῶν, ὅπως..... ἐπιτρέψῃ. 3, 4, πρόνοιαν δὲ ποιοῦ καὶ τοῦ ἔθνους.... ὅπως μηδενὸς ἐνοχλῆται. 10, 6, παρεκάλει συμμάχους εἶναι καὶ φίλους καὶ Δημητρίῳ γράψαι ὅπως μὴ πολεμῇ τοῖς Ἰουδαίοις. ΙΓ', 3, 4, παρεκάλεσάν τε τὸν Πτολεμαῖον,

ὅπως.... ἀποκτείνῃ. 4, 9. ΙΔ', 2, 1, ἠξίουν..... ἵν' ἀρὰς κατὰ Ἀριστοβούλου καὶ τῶν συστασιωτῶν αὐτοῦ ἐπιθῆται. κ. τ. λ. — Πλουτάρχ. Ῥωμύλ., 15, 9, συνθῆκαι ἐγένοντο, ὅπως μηδὲν ἄλλο ἔργον τοῖς ἀνδράσιν....ὑπουργῶσι. Λυκ. 13, 3, μία μὲν οὖν τῶν ῥητρῶν ἦν μὴ χρῆσθαι νόμοις ἐγγράφοις, ἑτέρα δὲ πάλιν κατὰ τῆς πολυτελείας, ὅπως οἰκία πᾶσα τὴν μὲν ὀροφὴν ἀπὸ πελέκεως εἰργασμένην ἔχῃ.... Σόλ. 30, 2, γράψαντος, ὅπως δοθῶσι. Ἀλκ. 24, 2, διεπράξαντο ἐπιστεῖλαι ὅπως ἀποκτείνωσιν αὐτόν. Κάτ. νεώτ. 8, 2, νόμου γραφέντος, ὅπως μὴ παρῶσι. 12, 3, τῶν δεομένων προφάσεως, ἵνα βίᾳ λαμβάνωσι. Κλεομ. 6, 1, ἔπεισε τοὺς ἐφόρους χρήμασιν, ὅπως αὐτῷ ψηφίσωσι στρατείαν. Δημήτρ. 38, 5, παρακαλεῖν τοὺς φίλους, ὅπως διδάσκωσιν αὐτήν. Ἀντών. 5, 2, διάταγμα γράψας, ὅπως ἡ.... δύναμις εἰς Συρίαν πλέοι. 70, 3, ἐβουλήθην δημοσίᾳ προειπεῖν, ἵνα.... ἀπάγξωνται. Τιμολ. 22, 3, ἔδοξε τῷ Τιμολέοντι γράψαι πρὸς τοὺς Κορινθίους, ὅπως πέμψωσιν οἰκήτορας εἰς Συρακούσας. Φιλοπ. 17, 4, αἰτουμένου ὅπως ἐάσωσι τοὺς φυγάδας κατελθεῖν. Μάρ. 29, 9, ψηφίζεται..... ἐπικηρῦξαι, ὅπως πυρὸς καὶ στέγης καὶ ὕδατος εἴργηται Μέτελλος. Κράσσ. 12, 4, προσέταξεν ὅπως μὴ περιΐδητε. Πομπ. 54, 5, δεξαμένης δὲ τῆς βουλῆς καὶ ψηφισαμένης ὅπως ὕπατος αἱρεθεὶς ὁ Πομπήιος ἄρχοι μόνος.... Ἀλέξ. 10, 2, τὸν δὲ Θετταλὸν ἔγραψε Κορινθίοις ὅπως ἀποπέμψωσι. Φωκ. 21, 1, γράψαντος δὲ τοῦ Ἀλεξάνδρου περὶ τριήρων, ὅπως ἀποστείλωσιν αὐτῷ.... Ἀρριαν. Ἐπικτ. Διατριβ. Α', 18, οὐ θέλεις, ἵνα αὐτὸν ἁρπάσωσι; Γ', 23, ποῖος ἰατρὸς παρακαλεῖ, ἵνα τις ὑπ' αὐτοῦ θεραπευθῇ; Αἰλιαν. ποικ. ἱστορ. ΙΔ', 3, παροξύνοντα αὐτὸν ὑπὲρ τούτου, ἵνα τι ἀποκρίνηται τῷ Πλάτωνι. Δίωνος Κασσ. ΝΑ', 10, 9, ἱκέτευσε τοὺς παρόντας ὅπως πρὸς τὸ μνῆμα αὐτὸν κομίσωσιν. 12, 6, αἰτῶ ἵνα μετ' αὐτοῦ καὶ ἀποθάνω. ΛΗ', 17, 7, προσεπεκηρύχθη, ἵνα.... διόλωνται. 42, 2, πέμψαντος γάρ μου πρὸς αὐτὸν φιλικῶς ὅπως ἔλθῃ... ΝΑ', 10, 7, τῶν παρόντων τινὸς

ἐδεήθη, ἵν' αὐτὸν ἀποκτείνῃ. ΝΒ', 26, 1, συμβουλεύειν ἵνα.... συμφοιτῶσι. ΝΔ', 26, 7, ἐψηφίσθη, ἵνα... καθιστῶνται. ΝΕ', 13, 1, τοῦ δήμου σφόδρα ἐγκειμένου Αὐγούστῳ ἵνα καταγάγῃ τὴν θυγατέρα αὐτοῦ... κ. τ. λ. κ. τ. λ. Κοΐντου Σμυρναίου Β', 127, ὥς μοι ἔτι κρήνειαν, ἵν' Ἀργείους ἐσίδωμαι. Ε', 171—2, καί ῥά μοι ἔνδοθεν ἦτορ ἐνὶ φρεσὶ ταῦτα μενοινᾷ, ὄφρα δορυκτήτοισι δικασπολίην ὀπάσωμεν. ΣΤ', 16, νῦν δέ μοι ἀλλήκτους ὀδύνας ἐνεθήκατο δαίμων, ὄφρ' ὁρόω κακὰ πολλά. 32. Ζ', 246, παρφάμενοι κείνου θρασὺν νόον, ὄφρ' ἀφίκηται δήιον εἰς ἐνοπήν. Θ', 25 ἑπ. 81 ἑπ. ΙΔ', 239 ἑπ. Νόννου Διονυσιακ. ΛΓ', 57. ΛΕ', 753 κ. τ. λ. κ. τ. λ.

Εἰ δ' ἡ τῶν λογίων καὶ περίτεχνος γλῶσσα οὕτω συχνὴν ποιεῖται ἀναλύσεως ἢ περιφράσεως τελικοῦ ἀπαρεμφάτου χρῆσιν, πῶς οὐκ εἰκὸς τὸ πλῆθος συχνοτέρᾳ ταύτῃ χρῆσθαι διά τε τὴν εὐκολίαν καὶ διὰ τὸ σαφέστερον αὐτῆς; καὶ ὄντως ἐν τῇ Νέᾳ Διαθήκῃ, τῇ ἐν δημωδεστέρᾳ γλώσσῃ γεγραμμένῃ, ἡ περιφράσεων ἀπαρεμφάτων χρῆσίς ἐστιν εὐρυτάτη καὶ λίαν συχνή. καὶ γὰρ εὕρηται μὲν ἐν αὐτῇ ἡ ἁπλῶν ἀπαρεμφάτων χρῆσις συχνοτάτη, μάλιστα μετὰ ῥημάτων προσταγῆς, ἱκεσίας, βουλήσεως καὶ τῶν τοιούτων σημαντικῶν· οἷον Α'. π. Τιμόθ. 2, 8, βούλομαι προσεύχεσθαι τοὺς ἄνδρας. π. Ἑβρ. 6, 11, ἐπιθυμοῦμεν ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδήν. Πράξ. 21, 21, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα. Λουκ. Εὐαγγ. 5, 3, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον. Πράξ. 8, 31, παρεκάλεσε τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ. 11, 23. 16, 39. 17, 33. 19, 31. Ἰωάνν. εὐαγγ. 4, 40. π. Θεσσαλ. 1, 5, 12 [1]). οὐχ ἧττον ὅμως συχνὴ ὑπάρχει καὶ ἡ ἀναλύσεων ἢ περιφράσεων τελικῶν ἀπαρεμφάτων χρῆσις με-

---

1) Ὅρα διεξοδικώτερον G. B. Winer, Grammatik des neutestamentlichen Sprachidioms. 5. Aufl. Leipzig. 1844. § 45. 2 ἑπ. 370 ἑπ. Ἰδία τις χρῆσίς ἐστιν ἡ τῆς ἀπαρεμφάτου σὺν τῷ ἄρθρῳ τοῦ οἷον, π. Κορινθ. Α. 9, 6, οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι (Winer, σ. 376), ἥτις καὶ παρὰ τοῖς βυζαντινοῖς συχνοτάτη τυγχάνει.

τὰ ταὐτὰ ῥήματα[1]) διὰ τοῦ ἵνα καὶ ὑποτακτικῆς ἢ εὐκτικῆς, οἷον, Ματθ. 4, 3, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. 7, 12, πάντα, ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. 8, 34. Μάρκ. 3, 9, καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ, ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ. 5, 17. 6, 25. 7, 26. 8, 22. 9, 30. Λουκᾶ, 3, 4. 7, 36, ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων, ἵνα φάγῃ μετ' αὐτοῦ. 8, 31. 9, 40. 10, 40. 22, 32. Πράξ. 27, 47. Ὡσαύτως Ματθ. 8, 8, οὐκ εἰμι ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην ἔλθῃς. Ἰωάνν. 1, 27, οὗ ἐγὼ οὐκ εἰμι ἄξιος, ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα. 4, 4, ἠρώτα ἵνα καταβῇ καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν. 9, 22. 11, 37. 57. 12, 10. 13, 34. 15, 17. 17, 15. Ἀποκ. 3, 9. π. Κορινθ. Α', 1, 10. 16, 12. Β', 9, 5. 12, 8. π. Κολασσ. 4, 16. κ. τ. λ. κ. τ. λ.[2]).

Ἰδεῖν δ' ἔστιν ἐκ τῶν μέχρι τοῦδε παρατεθειμένων χωρίων ὡς οὐ μόνον ἡ ἀνάλυσις ἢ περίφρασις τῆς τελικῆς ἀπαρεμφάτου προϊόντος τοῦ χρόνου συχνοτέρα ἀπέβαινεν, ἀλλὰ καὶ ὁ ἵνα ἐν ταῖς ἀναλύσεσιν εὐχρηστότερος τῶν λοιπῶν τελικῶν συνδέσμων, μάλιστα δ' ἐν τῇ δημώδει γλώσσῃ, οἵα ἡ τῆς Νέας Διαθήκης· τὸ δὲ φαινόμενον τοῦτο, ἀρχαιότατα ἐν τῇ ἑλληνικῇ γλώσσῃ ἐπελθόν, ἐξ αὐτῆς δήπου καὶ τὴν ἀρχὴν εἴληφεν, οὐδ' ἀποδοίη τις ἂν δικαίως αὐτὸ ὀθνείᾳ τινὶ, οἷον ἀραμαϊκῇ, ἐπιῤῥοίᾳ. Ἡ δὲ προτίμησις τοῦ ἵνα τῶν λοιπῶν τελικῶν συνδέσμων, κατὰ τοὺς περὶ Χριστὸν χρόνους ἐν μόνῃ τῇ δημωδεστέρᾳ γλώσσῃ ὁριστικῶς ἀναφαινομένη, ἀπὸ τοῦ ἕκτου χριστιανικοῦ αἰῶνος καὶ ἑξῆς, ἀφ' οὗ ἡ τῆς Νέας Διαθήκης γλῶσσα γενικώτερον παρὰ τοῖς συγγραφεῦσιν ἐπεκράτησε, μονονουχὶ παρὰ πᾶσι τοῖς τῇ ἐκκλησιαστικῇ γλώσσῃ χρωμένοις εἴθισται[3]), ὡς ἄν τις ἐκ

1) Μετὰ μόνον τὸ κελεύειν οὐδέποτε εὕρηται ἵνα ἐν τῇ Νέᾳ Διαθήκῃ. Winer, σελ. 390.

2) Ὅρα καὶ Winer, § 45, 8 ἐπ. σελ. 388—394, ἔνθα εὐρύτερον καὶ συστηματικῶς ἐξετάζεται ἡ χρῆσις τῆς ἀπαρεμφάτου ἐν τῇ Νέᾳ Διαθήκῃ καὶ ἡ τοῦ ἵνα.

3) Παράβαλε Mullach, Conj. byzant. σ. 27. Gramm. d. gr. Sprache, σελ. 321, σημ. 3. καὶ 373.

τῶνδε ἀπὸ πλειόνων παραδειγμάτων τεκμηριώσαιτο. Θεοφυλ. Σιμοκάττ. Βασιλ. Δ', (σ. 122, 10. ἐκδ. Βόννης), σπεύσομεν ἵνα σε καὶ τῆς βασιλείας ἐξοστρακίσωμεν. Ἰωάνν. Μαλάλα 3, 77, B. σελ. 64, 5—7 (ἐκδ. Βόννης), λέγει ὁ θεός.... ἵνα ἀπολύσῃς τὸν λαὸν αὐτοῦ λατρεῦσαι αὐτῷ. 10, 344, C. σελ. 264, 15—19, ᾔτησαν δὲ αὐτοῦ οἱ πολῖται, ἵνα ποιήσῃ τέλεσμα πρὸς τοὺς κώνωπας...., καὶ ἐποίησε κελεύσας ἵνα τῇ ἑβδόμῃ..... ἐπιτελῆται. 344, D, σελ. 264, 22, ἐπιτρέψας, ἵνα πάντες βαστάζουσιν. 12, 373. σελ. 284, 2—6, ἐδεήθησαν τοῦ βασιλέως ἵνα..... προσκυρώσῃ..... καὶ ἵνα μὴ πορίζωνται. σελ. 300, 1—3, ἐποίησε θείαν αὐτοῦ κέλευσιν ἵνα..... χρηματίζουσι. 16, σελ. 404, 18—19, εἰρηκὼς τοῖς ναύταις ὅτι οὐ χρεία ὅπλων, ἀλλ' ἵνα ῥίπτετε ἐκ τούτου εἰς τὰ πλοῖα... Ἔν τινι παρὰ Σάθα δεδημοσιευμένῳ ἀποσπάσματι ἀρχιερατικῆς διδασκαλίας ἐκ τῶν ἀρχῶν τοῦ ἑβδόμου αἰῶνος ἀναγινώσκεται (Μεσαιων. Βιβλιοθ. τόμ. ΣΤ', σελ. ΚΑ'. ἑπ.), θέλεις, κύριε ἀββᾶ, ἀντὶ τοῦ γυρεύειν, ἵνα ἵστασαι καὶ πωλῆς θέρμια; Θεοφάν. χρον. τόμ. Α', σελ. 500, 10 (ἐκδ Βόννης), ἐὰν λαλήσῃς τῷ στρατῷ ἵνα δέξωνταί με. 15, σπούδασον μετὰ τοῦ λαοῦ σου, ἵνα βασιλεύσω....... ἐδήλωσέ μοι, ἵνα τῇ κγ' τοῦ Μαρτίου μηνὸς λάβω ταξάτους νεωτέρους καὶ εἰς τὴν ποντογέφυραν τοῦ Τίγριδος ποταμοῦ ὑπαντήσω αὐτῷ. 534, 3, τί ζητεῖς;..... ἵνα δώσῃς βοήθειαν κατὰ τοῦ ἀντάρτου. 703, 19, καὶ ἀποστείλασα σπαθάριον Θεόφιλον παρήγγειλεν, ἵνα συντόμως ἁρπάσῃ καὶ φέρῃ αὐτόν. τόμ. Β', σ. 356, 4, καὶ οὐκ ἐμήνυσας..... ἵνα ἐλέγξῃς; 355, 21, ὁρκίζω σε, ἵνα πρότερόν με καθαιρήσῃς. πρβ. 228, 13. 229, 20. 355, 22. κ. τ. λ. Κωνσταντ. Πορφυρογενν. τόμ. Α', σελ. 155, 8 (ἐκδ. Βόννης). μηνύεται ὁ πατριάρχης, ἵνα ἐλθὼν ἐπὶ τὴν αὔριον ἐκτελέσῃ τὴν θείαν λειτουργίαν. 378, 1. 408, 9. 480, 3. 484, 2. 494. 617, 15. κ. τ. λ. κ. τ. λ. ἐν δὲ σελίδι 140, 2 καὶ 20 εὕρηται καὶ ὁ ὅπως ἀντὶ τοῦ συνήθους ἵνα, καὶ ἐν σελίδι 693, 3 πρώτην ταύτην φορὰν εὕρηται ὁ ἐκ συγκοπῆς τοῦ ἵνα προελθὼν νά. 'ὁ εἰς τοὺς Φαράγγους εἴτε εἰς τοὺς

Χαζάρους θέλων γενέσθαι ὀφείλει διδόναι λίτρας Ζ', δηλονότι νὰ ἔχῃ ῥόγαν νομίσματα ιβ'.' Παρὰ δὲ τοῖς δημοτικοῖς ποιηταῖς τοῦ δεκάτου αἰῶνος καὶ ἑξῆς ἡ τοῦ νὰ χρῆσις ἐν ἀναλύσεσι καὶ ἑτέρων μὲν ἀπαρεμφάτων, μάλιστα δὲ τελικῶν[1]), συχνοτάτη ἐστίν, ὥστε δικαίως ἄν τις εἰκάσειε καὶ πρὸ τοῦ δεκάτου αἰῶνος κεχρῆσθαι τῷ νὰ τῷδε τοὺς πολλούς, μαρτύρια μέντοι τούτου ἐκ τῶν πρὸ τοῦ δεκάτου αἰώνων ἄχρι τοῦδε οὐχ εὕρηται· τῆς δὲ παρὰ τοῖς δημοτικοῖς ποιηταῖς ἀπὸ τοῦ δεκάτου αἰῶνος καὶ ἑξῆς χρήσεως αὐτοῦ ἐπὶ ἀναλύσεων τελικῶν ἀπαρεμφάτων παραδείγματα ἔστω τάδε ἀπὸ πλειόνων. Διγενὴς Ἀκρίτας, ἔπος ἐν πολιτικοῖς στίχοις ἐκ τοῦ δεκάτου αἰῶνος[2]), στ. 71—72, στέλλομεν ἀνθρώπους ἐδικούς μας νὰ φέρουν τὰ φουσάτα μας. 100. 212—214,

Οἱ Ἀραβῖται βούλονται ἐμὲ τοῦ θανατῶσαι,
νὰ σφάξωσι τὰ τέκνα σου πατρὸς ὡς ἀπιστοῦντος,
σοῦ τὰ τερπνὰ κοράσια ἄλλοις παραδοθῆναι.

πρβ. στ. 231. 267. 300. 415. 441. 543. 612. 871. 1058. 1335. κ. τ. λ. κ. τ. λ.

Ἀλεξίου Κομνηνοῦ Παραινετικόν, ἐκ τοῦ δεκάτου πρώτου αἰῶνος[3]), στ. 27,

Αὐτὰ ἐθάρρουν εἰς ἐσέν, παιδίν μου, νὰ κερδήσω;

πρβ. στ. 114. 118. 121. 155. 158. 168. 169, τρέχε νὰ τὸ μάθῃς. 171, ἀγώνιζε νὰ μάθῃς. 176. 194. 204. 206. 226. 235. 237. 253. 275. 280. 325,

---

1) Ὁ νὰ οὐ μόνον εἰς ἀπαρεμφάτων ἀναλύσεις τίθεται ὑπὸ διαφόρους σημασίας ἀντὶ τοῦ ἵνα, ὅτι κ. τ. λ., ἀλλὰ καὶ ἐν ἄλλαις τῆς νῦν δημώδους χρήσεσιν. οἷον ἀντὶ τοῦ ἂν ὑποθετικοῦ τε καὶ δυνητικοῦ, τοῦ ἠνί κ. τ. λ. Ἴδε περὶ τῆς ποικίλης αὐτοῦ χρήσεως Α. Κοραῆ Ἄτακτα, τόμ. Α'. σ. 103 ἐπ. 225. Β'., 265 ἐπ., καὶ Mullach, ad Demetr. Zeni Paraphrasin κ. τ. λ. σ. 40—41.

2) Les exploits de Digènis Akritas, par K. Sathas et Em. Legrand. Paris. 1875. περὶ τῆς χρονολογίας ὅρα σελ. 271 ἐπ. Ἐφεξῆς σημειοῦται συγκεκομμένως Δ. Ἀκρ.

3) Παρὰ W. Wagner, Carmina graeca medii aevi. Lipsiae. 1874. σελ. 1—27. Συγκεκομμ. Α. Κομν.

διὰ νά σ' ἐντρέπωνται πολλοὶ κι' ἄλλοι νὰ σὲ φοβοῦνται.

Θεοδώρου Προδρόμου ἢ Πτωχοπροδρόμου στιχουργήματα ἐκ τοῦ δεκάτου δευτέρου αἰῶνος[1], *Α'*, *στ.* 74 (*Κοραῆ*), *ἂν θέλῃς νὰ 'φελέσῃς.* 122, *δός με νὰ προγεύσωμαι. Β'*, 160, *παῦσαι τὸ νὰ τρῷς πολλά. κ. τ. λ. Α'*, 22 (Legrand),

πρὸς τὸ (τί;) νὰ μάθω γράμματα τάχα νὰ ζῶ ἀπ' ἐκεῖνα;

31. 42. 45. 53. 62. 78. 79. 85. 108. 111—113. 117—8. 124. 126. 146—7. *Β'*, 7. 10. 22. 34. 102. *Γ'*, 52, 55. 56. 63. 101. 167. 240. 243. *κ. τ. λ.*

Ἔρωτες Βελθάνδρου καὶ Χρυσάντζας ἐκ τοῦ ΙΒ'. αἰῶνος[2] *στ.* 4—5,

ὅςτις γὰρ θέλῃ ἐξ αὐτῆς θλιβῆν τε καὶ χαρῆναι
καὶ νὰ θαυμάσῃ ὑπόθεσιν τῆς τόλμης καὶ ἀνδρείας.

22—3.

λοιπὸν τὸν νοῦν ἱστήσατε ν' ἀκούσητε τοῦ λόγου
καὶ νὰ θαυμάζηται πολλά.

38—9, ... *ἠθέλησεν εἰς τὸ ν' ἀποδημήσῃ,*
μακρά που νὰ ξενιτευθῇ . . .

115. 117. 139. 141. 142. 145. 163. 203. 205. 221. *κ. τ. λ. κ. τ. λ.*

Ἐμμανουὴλ Γεωργιλλᾶ ἱστορικὴ ἐξήγησις περὶ Βελισαρίου ἐκ τοῦ ΙΓ' αἰῶνος[3], *στ.* 45,

γράψειν εἶχα καὶ πλειότερα, νὰ πῶ διὰ τὸν φθόνον.

90. 141—2, *ὑμᾶς ἐδῶ ἐσύναξα, ἵνα μ' ἀποκριθῆτε*
καὶ νά με δώσετε βουλὴν εἰς τὸ ζητῶ καὶ θέλω.

163—4, ... *ἵνα μᾶς δώσῃ νίκην,*

---

1) *Δύο παρ' Ἀδαμαντίῳ Κοραῆ ἐν Ἀτάκτων τόμ. Α'. καὶ τρία παρ'* E. Miller *καὶ* E. Legrand, Trois poèmes de Theodore Prodrome. Paris. 1875. *Συγκεκομμ. Θ. Πρ.*

2) *Παρ'* Adolf Ellissen, Analekten aus der mittel- und neugriech. Literatur. *Τόμ. Ε'*. Leipzig. 1862. *Συγκεκομμ. Β. καὶ Χρ.*

3) *Παρὰ* W. Wagner, carmina graeca medii aevi. *σελ.* 322—347. *Συγκεκομμ. Γεωργ. Βελισ.*

νὰ καταβάλῃ τοὺς ἐχθροὺς καὶ νὰ τοὺς ἀφανίσῃ. πρβ. 191. 212—13. 257. 267—70. κ. τ. λ. κ. τ. λ.

Οὐχ ἧττον δὲ χρῶνται οἱ αὐτοὶ στιχουργοὶ (οὕτω γάρ τις αὐτοὺς καλῶν ὀρθῶς ἂν καλοῖ) καὶ τῇ ἁπλῇ ἀπαρεμφάτῳ καὶ τοῖς ἵνα καὶ διὰ νὰ ἐν ταῖς ἀναλύσεσι, συχνότερον μὲν οἱ τούτων ἀρχαΐζειν ἀποπειρώμενοι, ὡς οἱ τοῦ Διγενοῦς Ἀκρίτου καὶ τῶν Ἐρώτων Βελθάνδρου καὶ Χρυσάντζας, σπανιώτερον δ' οἱ ἐν δημωδεστέρᾳ γλώσσῃ ποιοῦντες, ὡς ἔκ τινων τῶν παρατεθειμένων χωρίων καὶ ἐκ τῶνδ' ἔτι ἰδεῖν ἔστι. Δ. Ἀκρ., 70, ἐπείραζα ἵνα τὸ βέβαιον μάθω. πρβ. 1335. 225, διὰ νὰ μὴ λυπῆσαι. πρβ. 1114. 247, θέλω εἰπεῖν σοι. πρβ. 250 καὶ ἕτερα πλείονα. — Α. Κομν., 28, ἤλπιζα εὕρειν. 216. 295, ἵνα. — Β. καὶ Χρ., 55, οὐ δύναμαι ἀκοῦσαι. 75, οὐκ ἠμπορεῖ βαστάζειν. 83, διὰ νὰ συμφέρῃ ὁ νοῦς του. 86. 172—173. κ. τ. λ. — Γεωργ. Βελισ., 163. 141, ἵνα. κ. τ. λ. κ. τ. λ. Ἡ αὐτὴ δὲ χρῆσις ἀπαντᾷ μέχρι τοῦ δεκάτου ἕκτου αἰῶνος, ὅτε ἐν τῇ ὑπὸ Δημητρίου Ζήνου εἰς δημώδη γλῶσσαν παραφράσει τῆς Βατραχομυομαχίας οὐδὲν ἴχνος ἁπλῆς τελικῆς ἀπαρεμφάτου εὕρηται, ἀλλὰ μόναι ἀναλύσεις αὐτῆς μετὰ τοῦ νὰ ἢ διὰ νά, ἡ δὲ τοιαύτη χρῆσις ἀπαράλλακτος τετήρηται ἐν τῇ γλώσσῃ μέχρις ἡμῶν. Εἰ δέ τινες τῶν μετὰ τὸν δέκατον ἕκτον αἰῶνα συγγραψάντων ἢ ποιησάντων καὶ ἄλλοις τελικοῖς ἀπαρεμφάτοις ἢ ἀρχαϊκαῖς αὐτῶν ἀναλύσεσιν ἐχρήσαντο, τοῦτο τῷ ἀρχαϊσμῷ αὐτῶν δήπου, ἀλλὰ μὴ τῷ συγχρόνῳ γλωσσικῷ ἔθει ἀποδοτέον. — Τοιαύτη μὲν οὖν ἡ τῆς τελικῆς ἀπαρεμφάτου χρῆσις ἐν τῇ ἑλληνικῇ γλώσσῃ ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων μέχρις ἡμῶν.

Παραπλησία δ' ἐστὶ καὶ ἡ τῆς εἰδικῆς χρῆσις. Κἀντὶ ταύτης γὰρ οἱ Ἕλληνες ἐξ ἀρχῆς ἤδη τὸ μὲν σαφηνείας καὶ ποικιλίας τὸ δὲ εὐχερείας χάριν περιφράσεσιν ἢ ἀναλύσεσι καθ' ὁριστικὴν ἢ εὐκτικὴν μετὰ τῶν μορίων ὅ (Ὅμηρ.), ὅτι, ὡς, ὅπως, οὕνεκα (ἐπικ.), ὁθούνεκα (τραγικ.) καὶ διότι (Ἡρόδ. τὸ πρῶτον) συχνάκις ἐχρῶντο[1],

---

1) Ὅρα Kühner, Ausf. Gramm. d. gr. Sprache. 2. Aufl. § 550.

καθάπερ καὶ ἔμπροσθεν δεδήλωται (σελ. 10). *Ὥσπερ δ' ἐν τῇ τῆς τελικῆς χρήσει, οὕτω κἀν τῇ τῆς εἰδικῆς, τοῦ χρόνου προϊόντος αἱ περιφράσεις εὐχρηστότεραι ἀπέβαινον, μάλιστα δὲ παρὰ τοῖς πολλοῖς καὶ ἀπαιδευτοτέροις, ὡς καὶ τοῦτο ἐκ τῆς ἐν τῇ Νέᾳ Διαθήκῃ χρήσεως ἰδεῖν ἔστιν, ἔτι δὲ μᾶλλον ηὔξησέ τε καὶ ἁπλουστέρα ἀπέβη ἡ χρῆσις περιφράσεων εἰδικῶν ἀπαρεμφάτων ἐπὶ τῆς μετὰ τὸν πέμπτον χριστιανικὸν αἰῶνα ἐπελθούσης ἐκβαρβαρώσεως τῆς γλώσσης, ἕως οὗ περὶ τὸν δέκατον αἰῶνα αἱ περιφράσεις συχνόταται ἀπέβησαν, κατὰ δὲ τὸν δέκατον ἕκτον ὅλως κεκρατήκασι τῶν ἁπλῶν εἰδικῶν ἀπαρεμφάτων, μηκέτι ἐν τῇ δημώδει γλώσσῃ εὐχρήστων οὐσῶν. Τῆς τοιαύτης χρήσεως παραδείγματα ἀντὶ πλείστων τὰ ὀλίγα ταῦτα παρατιθεὶς ἀρκεῖν μοι δοκῶ.* Ὁμ. Ἰλ. *Α*, 60, *ὀΐω ἄμμ ἀ π ο ν ο σ τ ή σ ε ι ν. πρβ.* 204. 289. 296. 427. 558. *κ. τ. λ. ἐφάμην τ ί σ ε σ θ α ι. πρβ. Θ*, 498 — 9. *καὶ συχνότατα ἀλλαχοῦ εὕρηται ἁπλοῦν εἰδικὸν ἀπαρέμφατον. Τούτοις οὖν τάδε παράβαλε.* Ἰλ. *Α*, 411—12,

Γνῷ δὲ καὶ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων
ἣν ἄτην, ὅ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔ τ ι σ ε ν.

109—10. *Β*, 409. *Ε*, 331, *γιγνώσκων ὅ τ' ἄναλκις ἔ η ν θεός. Η*, 402, *γνωτὸν δὲ . . . . . .*

ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐ φ ῆ π τ α ι.

Κ, 160, *οὐκ ἀΐεις ὡς Τρῶες . . . . ε ἵ α τ α ι; Ο*, 204,

Οἶσθ' ὡς πρεσβυτέροισιν Ἐριννύες αἰὲν ἕ π ο ν τ α ι.

Ὀδ. *Ξ*, 366, *εὖ οἶδ' . . . . ὅ τ' ἤ χ θ ε τ ο πᾶσι θεοῖσι. κ.τ.λ. κ. τ. λ.* — Ἡροδ. *Γ'*, 75, *καὶ δὴ ἔλεγε τὸν μὲν Κύρου Σμέρδιν ὡς αὐτὸς ὑπὸ Καμβύσεω ἀναγκαζόμενος ἀ π ο κ τ ε ί ν ε ι ε, τοὺς Μάγους δὲ β α σ ι λ ε ύ ε ι ν. πρβ. Η'*, 118. — Θουκ. *Α'*, 87, *προσκαλέσαντές τε τοὺς ξυμμάχους εἶπον, ὅ τ ι σφίσι μὲν δ ο κ ο ῖ ε ν ἀδικεῖν οἱ Ἀθηναῖοι, β ο ύ λ ε σ θ α ι δὲ καὶ τοὺς πάντας ξυμμάχους παρακαλέσαντες ψῆφον ἐπαγαγεῖν. Γ'*, 3, 3. 25, 2. *Ε'*, 65. *Η'*, 78, *διεβόων ὡς . . . . φθείρεται τὰ πράγματα . . . ., τὸν δὲ Τισσαφέρνην τάς τε ναῦς οὐ κ ο μ ί ζ ε ι ν καὶ τροφὴν ὅ τ ι οὐ . . . . διδοὺς κ α κ ο ῖ τὸ ναυτικόν.* — Ξενοφ. Κ. *Π*, 1, 3, 13, *ἡ δὲ ἀπεκρίνατο ὅ τ ι β ο ύ λ ο ι τ ο μὲν ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι*

τὸν παῖδα χαλεπὸν εἶναι νομίζειν καταλιπεῖν. Ἑλλ. 4, 3, 1. — Λυσ. 10, 15, ἡγοῦμαι ὅτι ἐγὼ μὲν ὀρθῶς λέγω, τοῦτον δὲ οὕτω σκαιὸν εἶναι, ὥστε... κ. τ. λ. κ. τ. λ.[1]) Ἐν δὲ τῇ Νέᾳ Διαθήκῃ καὶ ἁπλᾶ μὲν ἀπαρέμφατα εἰδικὰ συχνότατα εὕρηται, οὐχ ἧττον μέντοι συχναί εἰσι καὶ αἱ περιφράσεις διὰ τῶν ὅτι καὶ ὡς μετὰ τὰ ῥήματα λέγειν, νομίζειν, πιστεύειν, ἐλπίζειν κ. τ. λ. οἷον, Ματθ. 10, 10, ἐνόμισαν ὅτι πλείονα λήψονται. Πράξ. 19, 26, καὶ ἀκούετε ὅτι .... μετέστησεν. 21, 29, ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγε. π. Ῥωμ. Δ', 9, λέγομεν ὅτι. Η', 18, λογίζομαι ὅτι. κ. τ. λ. κ. τ. λ.[2]) Παρὰ δὲ Φλαβίῳ Ἰωσήπῳ καὶ τὸ πῶς, ἀντὶ τοῦ ὅπως, μετ' εἰδικῆς σημασίας, ὥσπερ ἐν τῇ νῦν δημώδει, ἐν χρήσει ὂν εὕρηταί μοι. Ἀρχ. Ἰουδ. 2, 8, 1, Προειπὼν κατὰ προφητείαν πῶς μέλλει τῶν ἐκ τῆς γενεᾶς αὐτῶν ἕκαστος κατοικεῖν τὴν Χαναναίαν. Κατὰ δὲ τοὺς βυζαντινοὺς χρόνους καὶ ὁ ἵνα ἐπὶ τῆς αὐτῆς χρήσεως ἀπαντᾷ, οἷον ἐν τοῖς κανόσι τῶν συνόδων συχνάκις ἀναγινώσκεται φρονῶ ἵνα (τόμ. Γ'. σελ. 17 ἐκδ. Ποτλῇ καὶ Ῥάλλη καὶ ἀλλαχοῦ) ἀντὶ φρονῶ ὅτι. Περιορισθείσης δὲ τῷ χρόνῳ μεγάλως τῆς χρήσεως τῆς εὐκτικῆς ἐγκλίσεως ἐν τῇ γλώσσῃ καὶ αἱ ἀναλύσεις εἰδικῶν ἀπαρεμφάτων ἔπαυσαν ἐκφερόμεναι κατ' εὐκτικὴν καὶ περιωρίσθησαν ἐν τῇ ὁριστικῇ μετὰ τοῦ ὡς, πῶς, ὅτι καὶ τῇ ὑποτακτικῇ μετὰ τοῦ ἵνα, ὅπερ ἐν τῇ δημώδει ὡσαύτως νὰ κατὰ συγκοπὴν ἀπέβη καὶ ἤδη παρὰ Διγενεῖ Ἀκρίτᾳ ἐν τῷ δεκάτῳ αἰῶνι ἀπαντᾷ. Ἀντὶ τοίνυν εἰδικοῦ ἀπαρεμφάτου ἀπὸ μὲν τοῦ δεκάτου αἰῶνος καὶ ἑξῆς συχνότατα εὕρηται ἐν τῇ δημώδει γλώσσῃ ὁριστικὴ μετὰ τοῦ ὅτι ἢ πῶς, τοῦ ὡς κατ' ὀλίγον ἀχρηστίᾳ περιπεσόν-

---

1) Διάφορός ἐστιν ἡ τοῦ ὅτι μετ' ἀπαρεμφάτου χρῆσις, οἷον, Ξενοφ. Κ. Π., 1, 6, 18, λέγεις σύ, ἔφη, ὦ πάτερ, ὡς ἐμοὶ δοκεῖ, ὅτι..... οὐδὲ στρατηγοῦ καλοῦ οὐδὲν ὄφελος εἶναι, περὶ ἧς ὅρα Kühner, τόμ. Β'. σ. 877.

2) Ὅρα Winer, Gramm. d. neutestam. Sprachidioms, § 45, 2. σελ. 370--71.

τος, καὶ ὑποτακτικὴ μετὰ τοῦ νά, ἀπὸ δὲ τοῦ δεκάτου ἕκτου μέχρι τοῦ νῦν ἀείποτε. Τούτων παραδείγματα ἐκ τῶν δημοτικῶν ποιητῶν τοῦ δεκάτου αἰῶνος καὶ ἑξῆς ἔστω τάδε ἀρκοῦντα. Δ. Ἀκρ. 71,

Οὐκ οἶδας ὅτι στέλλομεν ἀνθρώπους ἐδικούς μας;

πρβ. 343. 1045. 122—3,

εἶθ' οὕτω βεβαιώσαντες τὸν ἀμηρᾶν μεθ' ὅρμου
γαμβρὸν νὰ τὸν ἐπάρωσι, νὰ ἔλθῃ εἰς Ῥωμανίαν.

πρβ. 289—90. 414. κ. τ. λ.

Δ. Κομν. 177,

Φαίνεται ὅτι ξεύρεις το κι' ἐντρέπονταί σε ὅλοι.

Θ. Πρ. Α', (παρὰ Legrand), 42,

Νὰ τὸν εἰπῶ ὅτι μάθε το γραμματικὸν νὰ ζήσῃ;

πρβ. 95—6. 99. 115. 121. 122. 130. 145. Β', 108. Γ', 247. κ. τ. λ.

Β. καὶ Χρ. 251,

Πάντως τὸ ἀπιστοῦμέν το, ὅτι ποιεῖς το τοῦτο.

189, *ἐγγυητὰς . . . . νὰ πάθῃς,*

ἀλλὰ μὲ τὸν πατέρα σου νὰ ποίσωμεν νὰ σ' ἔχῃ.

πρβ. 510. 710.

Γεωργ. Βελισ. 175 ἑπ. . . . . . . *ὡς ἤκουσε*

τὸ πῶς ζητοῦν καὶ θέλουσι ἀβελισάριόν τε
καὶ ὅτι ἔγνω κατ' αὐτὸν τὸ ἄδοξον τῆς γνώμης,
πῶς διὰ φθόνον ἔγκλειστος ἐγείνηκε τοῦ πύργου
καὶ ὅτι ἀναιτίατος ἔνι εἰς τὸ καθόλου.

264, *βλέπων πῶς.* 281—5,

ἐλπίζομεν εἰς τὸν θεὸν νὰ ἔνι εἰς ἡμᾶς τὸ νῖκος,
θαρρῶ καὶ νὰ δουλώσωμεν ὅλην τὴν Ἐγκλητέραν
καὶ μετὰ δόξης καὶ τιμῆς 'ς τὴν πόλιν να στραφοῦμεν.

Θρῆνος Κωνσταντινουπόλεως ἐκ τοῦ δεκάτου ἕκτου αἰῶνος[1], 13—16.

---

1) Παρ' A. Ellissen, Analekten . . τόμ Γ'. . 1857. Συγκεκομμ. Θρ. Κωνστ.

Ὅμως θαρρῶ εἰς τὸν θεὸν πολλὰ νὰ τὸ ποθησουν,
ὁποῦ ν' ἀρέσῃ τοὺς πολλοὺς καὶ νὰ τὸ μεταγράψουν,
πολλὰ νὰ τὸ τιμήσουσι καὶ νὰ τὸ ἀγαπήσουν,
νὰ χύσουν δάκρυα περισσὰ διὰ τὴν πτωχὴν τὴν πόλιν.

πρβ. 30 ἐπ. κ. τ. λ. κ. τ. λ.

Σημειωτέον δ' ὅτι κἂν τούτῳ ἐκ τῶν δημοτικῶν τούτων ποιητῶν ὁ τοῦ Διγενοῦς Ἀκρίτου τὰ μάλιστ' ἀρχαΐζειν ἀποπειρᾶται, διὸ μόνος οὗτος τῷ ὡς ἐν ἀναλύσεσι, καθάπερ ἐν στίχῳ 361, σπανιώτατα δὲ καὶ ἁπλῇ εἰδικῇ ἀπαρεμφάτῳ χρῆται, ὥσπερ ἐν στίχῳ 242, οἱ δὲ λοιποὶ τὴν αὐτὴν καὶ ὁ καθ' ἡμᾶς λαὸς ἐν τοῖς καθόλου τηροῦσι χρῆσιν. Ταῦτα μὲν οὖν καὶ περὶ τοῦ εἰδικοῦ ἀπαρεμφάτου. —

Τὸ δὲ δυναμικὸν ἀπαρέμφατον, τὸ δυναμικῆς δοτικῆς θέσιν κατέχον, ἤδη παρὰ τοῖς ἀρχαίοις δοτικῇ πολλάκις ἀντικαθίστατο, παραλλήλως ταύτης χρωμένοις αὐτῷ, ὡς τὰ ἔμπροσθεν (σελ. 9.) παρατεθειμένα χωρία σαφῶς δηλοῖ. Ἡ αὐτὴ δὲ χρῆσις ἐπεκράτει μέχρι που τῶν περὶ Χριστὸν χρόνων, ὅτε ἡ δοτικὴ αὕτη συχνάκις εἰς αἰτιατικὴν μετὰ τῆς εἰς ἢ εἰς γενικὴν μετὰ τῆς διὰ ἀναλύεσθαι ἤρξατο, ὥσπερ καὶ πρότερον ἡ δοτικὴ καθ' ὅλου οὐ σπανίως εἰς αἰτιατικὴν μετὰ τῆς πρὸς ἢ εἰς ἀναλελυμένη ἀπαντᾷ[1]· κατὰ δὲ τὸν ἑνδέκατον χριστιανικὸν αἰῶνα καὶ τὸ δυναμικὸν ἀπαρέμφατον ἀναλελυμένον εἰς ὑποτακτικὴν μετὰ τοῦ νά, ἢ εἰς τὸ νά, ἢ μὲ τὸ νὰ εὕρηται, οὕτω δ' εἴωθε καὶ μέχρις ἡμῶν ἡ δημώδης γλῶσσα ἀντὶ δυναμικοῦ ἀπαρεμφάτου εἴτε ἀναλύσεσιν αὐτοῦ μετὰ τῶν μορίων τούτων ἢ δοτικῇ ἀναλελυμένῃ χρῆσθαι· τὸ μὲν οὖν Ἰλ. Ζ, 460, ἀριστεύεσκε μάχεσθαι, ἀρίστευεν εἰς τὴν μάχην, τὸ δὲ Πολυβ. Δ', 8, εἰπεῖν καὶ διανοηθῆναι καὶ στέξαι τὸ κριθὲν δυνατός, εἰς τὸ νὰ ὁμιλήσῃ καὶ νὰ σκεφθῇ καὶ νὰ κρύψῃ τὰς σκέψεις του ἦτο δυνατός, εἴποι τις ἂν τῶν

---

1) Ὅρα Winer, Gramm. d. neut. Sprachidioms. §. 31, 2 ἐπ. σελ. 240 ἐπ.

νῦν Ἑλλήνων. Παραδείγματα δὲ τῆς τοιαύτης χρήσεως ἐκ τῶν δημοτικῶν ποιητῶν τοῦ ΙΒ′ καὶ ΙΓ′ αἰῶνος σεσημείωταί μοι τάδε.

Β. καὶ Χρ., 101—1,

"Ολος ὁ κόσμος ἴσον του οὐκ ἔχει ἀνδρειωμένον,
εἰ γὰρ συμβῇ καὶ πόλεμος, πολλάκις νὰ συγκρούγῃ,
νὰ καταδιώκῃ ἀγέλαστα ὡς μέγας ἀπελάτης
καὶ νικητὴς ν' ἀποφανῇ . . . . κ. τ. λ.

Γεωργ. Βελισ., 146—8, ... τίς ἐστιν ἄξιος εἰς τοῦτο,
νἆνεν εἰς ὅλα πρακτικός, ἄριστος καὶ ἀνδρεῖος
καὶ νὰ γεννᾷ βουλεύματα καλὰ τῆς ἀριστείας;

Θ. Πρ. Α′ (παρὰ Legrand), 72,

Ἀλλὰ τὰ μέτρα ποῦ ὠφελοῦν τὸ νὰ μὲ τήκῃ ἡ πεῖνα;
ἔνθα τοῦ μέτρου χάριν ἐτέθη τὸ νὰ μὲ ἀντὶ μὲ τὸ νὰ μέ.
κ. τ. λ. κ. τ. λ.

Οὐδὲν ἧττον δὲ τετήρηται ἐν τῇ καθ' ἡμᾶς δημώδει ἑλληνικῇ καὶ ἡ τετάρτη σημειωθεῖσα χρῆσις τοῦ ῥηματικοῦ ἀπαρεμφάτου ἀντὶ ἀπολύτου εὐκτικῆς (σ. 9.), καὶ αὕτη μέντοι ἐν ἀναλύσει διὰ τοῦ νὰ καὶ ὑποτακτικῆς ἢ παρῳχημένου ὁριστικοῦ χρόνου· οἷον τὸ δημῶδες

νὰ ζήσῃς, νὰ γηράσῃς
κ' ἓν ἀμπέλι ν' ἀγοράσῃς

εὐχὴν δηλοῦν προφανῶς τῶν ἀπαρεμφάτων ζῆσαι, γηράσαι καὶ ἀγοράσαι ἀνάλυσίς ἐστι. τῶν δ' ἔμπροσθεν παρατεθειμένων ἀρχαίων χωρίων (σελ. 9.) τὸ μὲν ὁμηρικὸν (Ὀδ. Ρ, 354)

Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι
καί οἱ πάντα γένοιθ', ὅσσα φρεσὶν ᾗσι μενοινᾷ

ἐν τῇ νῦν δημώδει γλώσσῃ οὑτωσὶ ἂν ἔχοι, Ζεῦ βασιλεῦ, νὰ εὐτυχῇ ὁ Τηλέμαχός μου καὶ πάντα νὰ τῷ γίνωνται, ὅσα ἐπιθυμεῖ, τὸ δ' ἡροδότειον (Ε′, 105) ἐκγενέσθαι μοι Ἀθηναίους τίσασθαι, οὑτωσί, νὰ καταξιωθῶ νὰ ἐκδικηθῶ τοὺς Ἀθηναίους. Κατὰ δὲ ταῦτα καὶ τὸ τῆς Ἰλιάδος (Β, 413—1)

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφές, αἰθέρι ναίων,
μὴ πρὶν ἐπ᾽ ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν

οὑτωσὶ νῦν ἂν ἔχοι, Ζεῦ πανένδοξε, μέγιστε, μαυροσύννεφε, ὅπου κατοικεῖς εἰς τὸν οὐρανόν, νὰ μὴ δύσῃ πρωτήτερα ὁ ἥλιος καὶ νὰ μὴ σκοτινιάσῃ. Εὕρηται δ᾽ ἡ τοιαύτη ἀνάλυσις τοῦ εὐκτικοῦ ἀπαρεμφάτου παρὰ πᾶσι τοῖς μετὰ τὸν ἔννατον αἰῶνα δημοτικοῖς ποιηταῖς, ὥστε, εἰ μὴ πρότερον, ἐν γοῦν τῷ δεκάτῳ αἰῶνι εἰσῆκται αὕτη. οἷον, Δ. Ἀκρ., 1234—7,

Καὶ χάρισαί μού τον, νὰ ζῇς, εἰς χρόνους ἀπεράντους,
νὰ χαίρω τοῦτον βλέποντας εἰς ἔτη τῆς ζωῆς μου,
νὰ περπατῇ ἀφρόντιστος, νὰ χαίρῃ εἰς τὸν κόσμον,
νὰ τὸν φοβοῦνται πάντοτε ἔθνη τῆς οἰκουμένης.

Α. Κομν., 655—6,

Οὕτω νὰ ζῇς εἰρηνικῶς, νά σ᾽ ἀγαποῦν οἱ πάντες,
νά σ᾽ ἔχῃ χάριν ὁ θεὸς, πάντα νά ᾽σὲ πληθαίνῃ.

674, ὁ Κύριος φυλάττοι σε, νὰ ἔχῃς τὴν εὐχήν μου.
Β. καὶ Χρ. 258—9,

Τὸν οὐκ ἔφθασάν τόν ποτε τὰ βέλη τῶν ἐρώτων,
μυριοχιλιοκατάδορτον εὐθὺς νὰ τὸν ποιήσουν,

ἔνθα ἀρά ἐστιν ἡ εὐχή, ἀπευχή δ᾽ ἐν στίχοις 462—9,

. . . . νὰ μὴ εἶχα ᾽γεννήθην,
καὶ εἰς τὸ πρόσωπον τῆς γῆς ἄψυχος νὰ εἶχα εὑρέθην,
εἰ δὲ εὑρέθην ἔμψυχος ὡς ξένος νὰ ἐγνωρίσθην,

καὶ ἐν στίχοις 430—1,

Τὸν κόσμον, τὸν ἐγνώρισα, νὰ μὴ εἶχα γνωρίσῃ
καὶ εἰς τὸ ἐρωτόκαστρο ποσῶς νὰ μὴ εἶχα ᾽σέβῃ.

πρβ. 334—6. εὐχὴ δ᾽ αὖ πάλιν ἐν στίχῳ 554,

αὐθέντα, νὰ συγχωρεθῇς, μή με παραδικήσῃς.

Θρ. Κωνστ., 1,

Νὰ τὤθελεν ὁ ποιητής, ὁ πλάστης τῶν ἁπάντων.

4, καὶ νά μ᾽ ἐδῶκαν λογισμὸν καὶ γνῶσιν εἰς ἐτοῦτο.
9, νὰ μὲ φωτίσῃ καὶ ἐμὲ εἰς τὰς πλοκὰς τοῦ στίχου.
117—9,

νἆχεν ἀστράψει ὁ οὐρανός, νἆχε καγῇ ἡ ὥρα,
ἥλιος, σελήνη μηδαμοῦ νά μ᾽ εἶχαν ἀνατείλει

καὶ τέτοια 'μέρα μελανὴ νά μ' εἶχε 'ξημερώσει.
κ. τ. λ. κ. τ. λ.

Παραπλησία δ' ἐστὶ καὶ ἡ τοῦ προστακτικοῦ ῥηματικοῦ ἀπαρεμφάτου χρῆσις, ἐν ᾗ τοῦτο προστακτικῆς ἐγκλίσεως τόπον κατέχει, ὥσπερ ἔκ τε τῶν ἔμπροσθεν (σ. 10.) παρατεθειμένων χωρίων καὶ ἐκ πολλῶν ἑτέρων ἰδεῖν ἔστι (παράβαλε Ἰλ. Α, 582. Δ, 64. 70. Ζ, 273—4. κ. τ. λ.) καὶ αὕτη γὰρ τετήρηται μὲν ἐν τῇ γλώσσῃ ἄχρις ἡμῶν, οὐ μέντοι ἐν ἁπλῷ ἀπαρεμφατικῷ τύπῳ, ἀλλ' ἐν ἀναλύσει εἰς νὰ καὶ ὑποτακτικήν. Δοκῶ δέ μοι καὶ ταύτην τὴν ἀνάλυσιν ταῖς λοιπαῖς συγχρόνως, ἔν γε τῇ σὺν τῷ νὰ μορφῇ, δεκάτῳ αἰῶνι εἰσῆχθαι εἰς τὴν γλῶσσαν· παρὰ μὲν γὰρ τοῖς μετὰ τὸν δέκατον αἰῶνα δημοτικοῖς ποιηταῖς συχνὴ ἀναγινώσκεται, ἐκ δὲ τοῦ πρότερον χρόνου καὶ ταύτης τῆς ἀναλύσεως οὔπω εὕρηται παραδείγματα. Σεσημείωταί δέ μοι τῆς τοιαύτης χρήσεως τάδε τὰ χωρία. Α. Κομν., 49,

Νὰ τοὺς εὕρῃς πρὸ ὀφθαλμοῦ εἰς ὄφελός σου μέγα.
115, *τεχνίτην ἔχεις μάστορα, μόνον νὰ τὸν προσέχῃς.*
185, *ὅ, τι ἂν εἴπῃς ἀληθῶς, βεβαίως νὰ τὸ ἔχῃς,*
416, *ἀνάπαυσαί μας ὀλίγον καὶ νὰ μᾶς ἔχῃς πάντα*
420, *δοῦλοί σου πάντες νὰ ἤμεθεν καὶ πάντας νὰ μᾶς ἔχῃς.*

Γεωργ. Βελισ., 56,

Εἰς χρόνου ἑνὸς τέρμινον νὰ ἔνι καμωμένον.
151, *νὰ κλέψετε τὸν κάλλιον.* 249. 250—4. 288—9.

Παρὰ δὲ Ἰωάννῃ τῷ Κανταχουζηνῷ καταχωρεῖται αὐτολεξεὶ ἐπιστολή τις τοῦ αἰγυπτίου σουλτάνου πρὸς αὐτὸν ἐκ τοῦ ἔτους 1348, ἐν ᾗ ἀναγινώσκεται, 'πάντοτε ἡ βασιλεία σου τὸ θέλημα αὐτῆς νὰ τὸ ζητῇ ἀπὸ τὴν σουλτανικὴν ἐξουσίαν μου. . . ., νὰ εὐεργετῆται ἡ ἀγάπη καὶ νὰ πληροῦται ἡ ὄρεξις αὐτῆς' . . . . . κ. τ. λ. (Γ', σ. 94—99. ἐκδ. Βόννης).

Θρ. Κωνστ., 955 ἐπ.

Ἂν θέλετε ναὐγάλετε τὸν Τοῦρκον ἀπ' τὴν Δύσιν,
τὸν πρῶτον τῶν χριστιανῶν ποίσετε ἀρχηγόν σας
καὶ νὰ ὁμοφωνήσουσιν αἱ γλῶσσαι τῶν Λατίνων,

τὸν Πάπαν δὲ τὸν ἅγιον νὰ στήσετε κεφάλι,
καὶ τὸν σταυρὸν νὰ βάλετε σημάδι στ' ἄρματά σας,
ἀγαπημένα, σπλαγχνικὰ ὅλοι νὰ ἦσθε ἕνα....
κ. τ. λ. κ. τ. λ.

Ἡ δ' ἑβδόμη σημειωθεῖσα χρῆσις τῆς ἀπολύτου ἀπαρεμφάτου, ἡ παρ' Ὁμήρῳ μήπω ἀπαντῶσα, ὡς λίαν τεχνικὴ καὶ ἀκατάληπτος τοῖς πολλοῖς καὶ ἀπαιδεύτοις, ταχέως ἐξέλιπεν ἐκ τῆς δημώδους γλώσσης καὶ ἐν μόνῃ τῇ τῶν λογίων καὶ καθαρευούσῃ γλώσσῃ ἄχρις ἡμῶν σὺν τῇ ἀρχαίᾳ μορφῇ τετήρηται ἔν τισι φράσεσιν, οἷον, μᾶλλον εἰπεῖν, φέρ' εἰπεῖν. εὐχρηστοτέρα δ' ἐστὶ κἀνταῦθα ἡ περίφρασις διὰ τοῦ νὰ ἢ νὰ μή, ἅπερ ὡσαύτως ἐκ τῶν ἵνα, ἵνα μὴ συγκοπῇ προέκυψε· τούτων δὲ παραδείγματα ἤδη παρὰ Θεοφυλάκτῳ Σιμοκάττῃ σεσημείωταί μοι τάδε· Ἱστορ. 2, 7 (σ. 79, 12 ἑπ. ἐκδ. Βόννης), καὶ μέντοι ἀνήγοντο οἱ τῆς Ἀρζανηνῆς, ὥσπερ ἐκ τῶν πυθμένων αὐτῶν τῆς συμμύστιδος γῆς ἐπὶ δούλιον ἦμαρ, ἵνα τὴν ἐκείνων τραγῳδίαν τραγικώτερον ἀφηγήσωμαι. 2, 18 (σ. 104, 13 ἑπ.), φιλαπόστροφον γὰρ ἡ τύχη καὶ ἄπιστον, νίκη δ' ἐπαμείβεται ἄνδρας, ἵνα καί τι τῆς Ὁμήρου δέλτου ἐπισπείρω τοῖς ἀφηγήμασιν. 4, 8 (σ. 175, 5.) κ.τ.λ. — Τῆς δ' ὀγδόης καὶ τελευταίας ἔμπροσθεν (σελ. 9) σεσημειωμένης χρήσεως τῆς ῥηματικῆς ἀπαρεμφάτου μετὰ τοῦ ὥστε τελευταῖον παράδειγμα σεσημείωταί μοι ἐκ τοῦ δεκάτου αἰῶνος παρὰ Διγ. Ἀκρ., 330, ὥστε κρυφίως φεύξασθαι, ἔκτοτε δὲ τετήρηται μὲν τὸ ὥστε, ἡ δ' ἀπαρέμφατος εἰς νὰ καὶ ὑποτακτικὴν ἀναλέλυται, οἷον, ὥστε λαβεῖν = ὥστε νὰ λάβω, ὑπὸ ταύτην δὲ τὴν μορφὴν μέχρι τοῦ νῦν ἡ χρῆσις αὕτη συχνοτάτη ἐν τῇ δημώδει γλώσσῃ τυγχάνει.

Καὶ τοιαύτη μὲν ἡ χρῆσις τοῦ ῥηματικοῦ ἀπαρεμφάτου ἐν τῇ ἑλληνικῇ γλώσσῃ κατὰ τὰς κυριωτάτας αὐτοῦ σημασίας.

Τὸ δ' ὀνοματικὸν καλούμενον ἀπαρέμφατον, τοῦτ' ἔστι τὸ ἀντὶ ὀνομάτων ἐν τῷ λόγῳ καὶ ἐν πάσῃ μὲν πτώσει, μάλιστα δὲ κατ' ὀνομαστικὴν ἢ αἰτιατικὴν μετὰ ἢ ἄνευ ἄρθρου ὡς ὑποκείμενον ἢ ἀντικείμενον διαφόρων ῥημάτων

τιθέμενον, παραπλησίαν ἐπορεύθη πορείαν, ἀλλὰ βελτίω, ὡς ἤδη εἴρηται (σ. 11)· καὶ γὰρ ἄχρις ἡμῶν οὐ μόνον ἐν ἀναλύσεσιν, ἀλλὰ καὶ ἐν τῇ ἀρχαίᾳ ἁπλῇ μορφῇ τετήρηται τοῦτο. Κἂν τούτῳ δ' ἡ πρὸς περίφρασιν τάσις ἤδη παρὰ τοῖς ἀρχαίοις παρατηρεῖται συχνάκις τοιαύτην ἀπαρεμφατικὴν ἔννοιαν ὑποθετικαῖς, εἰδικαῖς, ἀπὸ δὲ τοῦ Ἀριστοτέλους καὶ τελικαῖς προτάσεσι μετὰ τῶν μορίων εἰ, ἐάν, ἤν, ὅταν, ὅτι, ἵνα ἀναλυτικώτερον ἐκφράζουσιν· αἱ γὰρ τοιαῦται προτάσεις ἀείποτε ὑποκειμένου ἢ ἀντικειμένου τόπον ἐπέχουσιν ἑτέρων προηγουμένων ἢ ἑπομένων προτάσεων εἴτε κατ' εὐθεῖαν εἴτε κατ' ἐπεξήγησιν τοῦ ἐν ταύταις πολλάκις ὑπάρχοντος ἀορίστου δεικτικοῦ τόδε, τοῦτο ἢ ἐκεῖνο· οἷον, Ὁμ. Ὀδ. Υ, 333,

Νῦν δ' ἤδη τόδε δῆλον, ὅτ' οὐκέτι νόστιμός ἐστιν.

Θουκ. ΣΤ', 85, 1, καὶ ἡμᾶς τοῦτο ὠφελεῖ ἐνθάδε, οὐκ ἢν τοὺς πολεμίους κακώσωμεν, ἀλλ' ἢν οἱ ἐχθροὶ διὰ τὴν τῶν φίλων ῥώμην ἀδύνατοι ὦσιν (= οὐ τὸ κακῶσαι, ἀλλὰ τὸ εἶναι). Ε', 109. Γνωμικόν, Βίος ἐστίν, ἤν τις τῷ βίῳ χαίρῃ βιῶν (= τὸ χαίρειν τινὰ βιοῦντα). Εὐριπ. Ἱππολύτ. 242—3,

> Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχός τις ᾖ,
> ὅταν συνειδῇ πατρὸς ἢ μητρὸς κακά.

πρβ. Ἰσοκρ. π. Νικοκλ. 2, 20. Αἰσχίν. κατὰ Κτησιφ., 124. Ἀριστοτ. π. Φυτῶν Α', 1, σελ. 816α, 8, πάντῃ ἀσύμφωνόν ἐστιν ἵνα μέσον ἐμψύχου τε καὶ ἀψύχου ἄλλο τι τιθῶμεν. 34, δεῖ τοίνυν ἵνα τὸ ζῶον ἔχῃ. 36, δεῖ ἵνα πᾶς τις ἀποχωρῇ. 2, 817β, 30, κἀντεῦθεν συνίσταται ἵνα τὸ φυτὸν ἔχῃ τι κρεῖττον παρὰ τὸ ζῷον. Β', 7, 827α, 36, οὐ δεῖ ἵνα τὰ φύλλα ὦσι. 8, 827β, 21, δεῖ τοίνυν ἵνα . . . κ. τ. λ.

Παρὰ δὲ τοῖς μετὰ Χριστὸν δημοτικωτέρᾳ φωνῇ χρησαμένοις συγγραφεῦσι πάντων τῶν λοιπῶν μορίων τὸ ἵνα μάλιστα ἐν ταῖς τοιαύταις ἀναλύσεσιν εἴθισται, ὡς ἄν τις ἐκ τῶνδε ἀπὸ πλειόνων παραδειγμάτων ἴδοι· Ματθ. εὐαγγ. 10, 25, ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ (= γενέσθαι ἢ τὸ γενέσθαι). 18, 6, συμφέρει αὐτῷ

ἵνα κρεμασθῇ μύλος ὀνικός. Μάρκ. 14, 21, καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη. Λουκ. 17, 2, λυσιτελεῖ αὐτῷ εἰ μύλος ὀνικὸς περίκειται. Ἰωάνν. εὐαγγ. 11, 55, συμφέρει ὑμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνοι ὑπὲρ τοῦ λαοῦ. π. Κορινθ. Α', 4, 2, ζητεῖται ἵνα πιστός τις εὑρεθῇ. 4, 3, ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ. 7, 8, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. — Φλαβ. Ἰωσήπου ἰουδ. ἀρχ. ΙΒ'., 11, 1, μὴ τοῦθ' ἥλιος ἐπίδοι γενόμενον, ἵνα ἐγὼ τὰ νῶτά μου δείξω τοῖς πολεμίοις. — Ἀρριαν. Ἐπικτ. Διατριβ. Α', 10, 8, πρῶτόν ἐστιν, ἵν' ἐγὼ κοιμηθῶ. Γ', 23, πρῶτον ἵν' ὡς ἄνθρωπος.... — Κανόνων τῆς ἐν Καρχηδόνι συνόδου τόμ. Γ'. σελ. 15 (ἐκδ. Ῥάλλη καὶ Ποτλῆ), ὃ ἅπαξ ἐκρίναμεν, τοῦτο καὶ κατέχομεν, ἵνα τοὺς ἀπὸ αἱρέσεων ἐρχομένους βαπτίζωμεν. σ. 16, ἀεὶ τοῦτο ἐγὼ ἐφρόνησα, ἵνα οἱ αἱρετικοὶ .... βαπτισθῶσι. 17, ἐγὼ κρίνω ἵνα βαπτισθῶσι. Κανὼν Ι'. τῆς ἐν Σαρδικῇ συνόδου, σελ. 256, καὶ τοῦτο ἀναγκαῖον εἶναι νομίζω, ἵνα μετὰ πάσης ἀκριβείας καὶ ἐπιμελείας ἐξετάζοιτο κ. τ. λ. κ. τ. λ. Ὥσπερ οὖν ἐν ταῖς τοῦ ῥηματικοῦ ἀπαρεμφάτου ἀναλύσεσιν οὕτω καὶ ἐν ταῖς τοῦ ὀνοματικοῦ ὁ ἵνα τῷ χρόνῳ νὰ κατὰ συγκοπὴν γέγονε, τοιοῦτος δ' εὕρηται καὶ ἐν ταύταις μόνος ἢ μετὰ προηγουμένου οὐδετέρου ἄρθρου παρὰ πᾶσι τοῖς δημοτικοῖς ποιηταῖς καὶ συγγραφεῦσιν ἀπὸ τοῦ δεκάτου αἰῶνος μέχρις ἡμῶν· οἷον, Δ. Ἀκρ., 16, οὐ πρέπει μας νὰ ἥμεσθα εἰς κόσμον. — Α. Κομν. 190—92,

ὥσπερ γὰρ ἔνι συχαντὸν τὸ νὰ μὴ ἔχῃς φίλους,
οὕτως εἶνε ὑπόψογον συχνὰ νὰ κάμνῃς φίλους,
νὰ τοὺς ἀφίνῃς σύντομα καὶ νὰ γυρεύῃς ἄλλους.

312, κάλλιον νὰ σ' ἐντρέπωνται παρὰ νὰ σὲ φοβοῦνται. πρβ. 342—5. 496—7. — Β. καὶ Χρ., 149,

Βέβαιον, ἀκαταδούλωτε, νὰ δουλωθῇς προκρίνεις.

141, καὶ χρὴ νὰ σὲ δουλεύουσιν ὄχι τοῦ νὰ δουλεύῃς. 272—3, κρεῖττον γὰρ ἵνα γένωμαι τῶν πετεινῶν τὸ βρῶμα
παρ' ὅτι πάλιν νὰ στραφῶ τοῦ ποταμοῦ ἐξοπίσω. κ. τ. λ.

Οὐ μὴν ἀλλὰ καὶ ἡ δι' εἰδικῶν καὶ ὑποθετικῶν προτά-

σεων περίφρασις ὀνοματικῶν ἀπαρεμφάτων μετὰ τῶν συνδέσμων ὅτι, ἂν καὶ ʼσὰν (ὡσάν = ὅταν) συχνή ἐστιν ἐν τῇ νῦν δημώδει, οἷον ἐν τῷ παντὶ Ἕλληνι γνωστῷ στίχῳ ἐκ τοῦ ἐγερτηρίου ᾄσματος Ῥήγα τοῦ Φεραίου·

τί σʼ ὠφελεῖ ἂν ζήσῃς καὶ ἦσαι στὴν σκλαβιάν;

τὰ ἂν ζήσῃς καὶ ἦσαι προδήλως τῶν ἀπαρεμφάτων τὸ ζῆν καὶ εἶναι περιφράσεις ἐστίν. Ἁπλοῖς δʼ ὀνοματικοῖς ἀπαρεμφάτοις ὡσαύτως συχνάκις, ὡς εἴρηται χρῆται ἡ νῦν δημώδης ἑλληνική. ἐν τῷ δημώδει γνωμικῷ

Μὲ τὸ φαγεῖ(ν) καὶ μὲ τὸ πιεῖ(ν)
δὲν φοροῦν γιερὸ βρακί

τὰ φαγεῖ καὶ πιεῖ ὀνοματικά ἐστιν ἀπαρέμφατα, οὐκ οὐσίαν μόνην, ἥπερ φαγητὸν καὶ ποτὸν ἂν εἴη, ἀλλὰ καὶ ῥηματικὴν ἐνέργειαν συνδηλοῦντα καὶ τούτων διάφορα ὄντα, ὥσπερ τὰ γερμανικὰ Essen καὶ Trinken τῶν Speise καὶ Trank διαφέρει, διὸ διφθογγογραφητέα· ἔτι δὲ τὸ ἔχει(ν) του (= ἡ οὐσία, fortuna), τὸ λέγει(ν) του, μὲ ἄγριον ἰδεῖν (= ἀγρίᾳ ὄψει), τὸ εἶναι του (= ἡ ὕπαρξις αὐτοῦ), τὸ δεσμεῖν καὶ λύειν, τὸ λύσει(ν) καὶ τὸ δέσει(ν), ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, πάντα ταῦτα, ἐν χρήσει παρὰ τῇ δημώδει γλώσσῃ ὄντα, προφανῆ ἐστιν ἀπαρέμφατα, ὥσπερ καὶ ἕτερα πλείονα, δοκοῦντα μὲν προστακτικαὶ, ἀληθῶς δʼ ἀπαρέμφατα ὄντα, ὥς ἐστιν εἰκάσαι ἐκ τοῦ πολλάκις παρατιθεμένου ἄρθρου καὶ ἑτέρων προσδιοριστικῶν ὀνομάτων· οἷον, τὸ φάγε καὶ τὸ πίε, τὸ πέσε καὶ γύρε, τὸ ἄμε καὶ ἔλα, τὸ πᾶραι καὶ δῶσαι ἢ δῶσαι καὶ λάβε, εἰς ἓν ἅψαι καὶ σβῆσαι, τὸ ἀναίβα καὶ καταίβα, τὸ ἔμβα ἢ ἔβγα τοῦ μηνὸς καὶ τὰ τοιαῦτα, τὰ μὲν φάγε, πίε, ἄμε, ἔλα, λάβε, ἀναίβα, καταίβα καὶ τὰ ὅμοια ἐκ τῶν δωριζόντων φάγεν, πίεν, ἅμεν, ἔλαν (ἔλα-εν), ἀναίβαν (ἀναίβα-εν), καταίβαν κ. τ. λ. σχηματισθέντα, τὰ δʼ ἅψαι, σβῆσαι κ. τ. λ. κατὰ τὸν συνήθη πρῶτον ἀόριστον τῆς ἀπαρεμφάτου[1] · τῶν δωρι-

---

1) Παράβαλε ὅσα περὶ τῶν τοιούτων ἀπαρεμφάτων γεγράφασιν ὁ Α. Κοραῆς ἐν Αὐτοσχεδίοις στοχασμοῖς τοῦ Γ΄. τόμου τῶν παραλλήλων

ζόντων μάλιστα ἔτι καὶ νῦν πλείονα σὺν τῷ ν, ἤτοι ἄμεν, ἔλαν κ. τ. λ. ἐν τῇ κυπριακῇ διαλέκτῳ φέρεται. Εὕρηται δὲ τοιαῦτα ἀπαρέμφατα καὶ παρὰ τοῖς μετὰ τὸν δέκατον αἰῶνα δημοτικοῖς ποιηταῖς· οἷον Θ. Πρ. Β΄, (παρὰ Κοραῇ), 113,

Ἐρώτησαι ᾽ς τὸ διάβα σου ἐπὶ τοὺς Βενετίκους.
Χρονικὸν τοῦ Μωρέως [1]), στ. 64,

εἰς τὴν Τζαμπάνια ᾽ξέβηκε ᾽ς τὸ ἔμβα Νοεμβρίου.
Θανατικὸν τῆς Ῥόδου [2]) στ. 84,

καὶ θάμπηναν τὰ μάτια μου ἀπὸ τὸ ᾽πὲ καὶ κλάψε.
531, Μέρα νύχτα ναὑρίσκεται ᾽ς τὸ πέσε καὶ ᾽ς τὸ γύρε,
ἔνθα γραπτέον πέσαι, κλάψαι. κ. τ. λ. κ. τ. λ.

Ἡ δὲ τοῦ ν ἐκκοπὴ ἐκ τῶν ἀπαρεμφατικῶν τύπων ἤρξατο μὲν πάντως κατὰ τὸν ΙΑ΄ αἰῶνα, ὡς ἄν τις ἐκ τῶν παρ᾽ Α. Κομν. θέλει τὸ φανερώσει (= φανερώσειν) καί, ὁ ἔχων φίλους καὶ γνωστοὺς ζήση θέλει ᾽ς τὸν κόσμο (= ζήσην), τεκμηριώσαιτο, τοῦ δὲ χρόνου προϊόντος ἐπὶ μᾶλλον ηὔξανε μέχρις οὗ παρὰ Δημητρίῳ Ζήνῳ ἐν τῷ δεκάτῳ ἕκτῳ αἰῶνι πάντα τὰ ἀπαρέμφατα ἄνευ τοῦ ν φέρεται. εἰ δέ τινες τῶν μετ᾽ ἐκεῖνον γραψάντων ἢ ποιησάντων ἀπαρεμφάτοις σὺν ν χρῶνται, καὶ τοῦτο δήπου τῷ ἀρχαϊσμῷ αὐτῶν, ἀλλὰ μὴ τῇ τῆς συγχρόνου γλώσσης συνηθείᾳ ἀποδοτέον.

Ἑτέροις δ᾽ ἁπλοῖς ἀπαρεμφατικοῖς τύποις χρῆται ἡ νῦν δημώδης ἑλληνικὴ ἔν τισι περιφράσεσι, δι᾽ ὧν τὸν ἀρχαῖον ὁριστικὸν μέλλοντα ἀντικαθέστηκεν. ἀντὶ μὲν γὰρ τοῦ γράψω ἑτέραις τε περιφράσεσι καὶ τῇ θέλω γράψει(ν), ἀντὶ δὲ τοῦ ληφθήσομαι ὡσαύτως τῇ θέλω ληφθῆ(ν) χρῆσθαι εἴωθε, παρομοίως δὲ καὶ ἐπὶ παντὸς ἀρχαίου μέλλοντος ὁριστικῆς. Ἡ τοιαύτη δὲ περίφρασις τοῦ ἀρχαίου μέλλοντος ἀναφαίνεται μὲν τὸ πρῶτον παρὰ τοῖς δημοτι-

---

βίων τοῦ Πλουτάρχου καὶ ἐν Ἀτάκτων τόμ. Α. σ. 159, καὶ ὁ Δ. Μαυροφρύδης, Δοκ. ἱστ. τ. ἑλλ. γλώσσης, σ. 454 ἐπ.

1) Παρ᾽ Ellissen, Analekten . . . κ. τ. λ. τόμ. Β΄.

2) Παρὰ W. Wagner, Carmina graeca medii aevi, σ. 32—52.

κοῖς ποιηταῖς τοῦ δεκάτου αἰῶνος, τοῦ δὲ χρόνου προϊόντος ἐπικρατήσασα τὴν τοῦ ἁπλοῦ μέλλοντος χρῆσιν πάντη ἀπεσκοράκικε. Παραδείγματα δὲ τῆς τοιαύτης χρήσεως ἐν τῷ δεκάτῳ καὶ τοῖς ἑπομένοις αἰῶσι σεσημείωταί μοι τάδε. Δ. Ἀκρ., 247, 250, καὶ συχνότατα ἀλλαχοῦ θέλω εἰπεῖν (= ἐρῶ). Α. Κομν., θέλεις κτήσειν, θέλεις κλαύσειν. κ. τ. λ. — Β. καὶ Χρ., 2,

θέλω σᾶς ἀφηγήσασθαι λόγους ὡραιοτάτους

(= ἀφηγήσομαι ὑμῖν). 92,

θέλεις λαβεῖ(ν), ὦ βασιλεῦ, καὶ ψόγον οὐκ ὀλίγον.

Γεωργ. Βελισ., 167, θέλεις νικήσειν (= νικήσεις). — Δημητρίου Ζήνου Βατραχομυομαχία[1], στ. 21, θέλεις ἔχει (= ἕξεις). 117, θέλεις χαρῇ. 163, δὲν θέλεις φύγει. 262, τοὺς θέλομεν ἀντισταθῇ. κ. τ. λ. κ. τ. λ.

Ὡς οὖν ῥᾳδίως ἄν τις ἐκ τῶν παραδειγμάτων τούτων ἴδοι, κἂν τούτῳ τῷ ἀπαρεμφάτῳ ἡ τοῦ ν ἀποκοπή, πρὸ τοῦ δεκάτου ἕκτου αἰῶνος ἀρξαμένη, ἐν τούτῳ παρὰ Δημητρίῳ Ζήνῳ τελέως ἐπεκράτησεν, ὥσπερ καὶ ἡ περίφρασις τότε τὸν ἁπλοῦν μέλλοντα ἀντικαθέστηκεν. Ἀπὸ δὲ τοῦ δεκάτου ἕκτου αἰῶνος μέχρις ἡμῶν, καθάπερ ἐν πλείστοις ἄλλοις, οὕτω κἂν τούτῳ οὐδεμία σπουδαία μεταβολὴ ἐπῆλθεν ἐν τῇ δημώδει γλώσσῃ, διὸ οὐδὲν ὀψιγενέστερον παράδειγμα ἐν τοῖς ἔμπροσθεν παρατέθεικα.

Τοιαύτη τοίνυν ἡ τῆς ἀπαρεμφάτου χρῆσις ἐν τῇ νῦν δημώδει ἑλληνικῇ γλώσσῃ. Ὡς δ' ἐκ τῶν εἰρημένων συμπεράναι ἔστιν, οὔτε ὁ ἀρχαῖος ἁπλοῦς αὐτῆς τύπος παντελῶς ἐξέλιπεν ἐκ τῆς νῦν δημώδους φωνῆς, ὡς οἱ πλείους τῶν περὶ αὐτῆς γραψάντων οὐκ ὀρθῶς οἴονται[2], οὔτ' ἐν μόναις ταῖς τοῦ μέλλοντος περιφράσεσι διασέσωσται, ὥσπερ ἕτεροι φρονοῦσιν[3], οὔτε ἡ ἀναλύσεσι καὶ περιφράσεσι δήλωσις

---

1) Παρὰ Mullach, Dem. Zen. Paraphr. Batrach. κ. τ. λ. Berolini 1837.

2) Οἷον ὁ Mullach, Gramm. d. gr. Sprache. σελ. 373.

3) J. Jolly, Geschichte des Infinitivs . . . κ. τ. λ. 225 ἑπ.

ἀπαρεμφατικῆς ἐννοίας σλαυϊκῆς ἐστιν ἐπιῤῥοῆς, ὥσπερ Φαλλμεράϋερ, ἢ ἀλβανικῆς, ὥσπερ Μίκλοσιχ, διατείνονται[1], ἀλλ᾽, ὥσπερ καὶ ἐν τῷ ἔμπροσθεν λόγῳ δεδήλωταί μοι (σ. 7), τοῦ πνεύματος τῆς ἑλληνικῆς γλώσσης ἐξεπήγασε τὸ μὲν σαφηνείας καὶ ποικιλίας τὸ δὲ τῆς περὶ τὴν ἔκφρασιν εὐκολίας χάριν. Ὅτε γὰρ ἤρξαντο ἐπικρατεῖν ἀναλύσεις ἢ περιφράσεις ἀπαρεμφάτων ἐν τῇ ἑλληνικῇ γλώσσῃ, δῆλόν γ᾽ οὔτε Σλαύους οὔτ᾽ Ἀλβανούς πω ἐν Ἑλλάδι ὑπάρχειν[2], εἰ μή τις σὺν τοῖς φανατικωτέροις τῶν Σλαυϊζόντων καὶ Ὀρφέα ἐκεῖνον καὶ τὸν Ὅμηρον Τουρκομάνον τινὰ καὶ Βούλγαρον Ὁμὰρ ἀποφῆναι. Τοιαῦται δ᾽ εἰσὶ καὶ αἱ πλεῖσται ἄλλαι τῆς καθ᾽ ἡμᾶς ἑλληνικῆς διαφοραὶ καὶ ἀλλοιώσεις, φθογγικαί τε καὶ τυπικαὶ καὶ συντακτικαί, ὥσπερ Μαυροφρύδης συντόμως μὲν καὶ ἐλλιπῶς, ἀλλὰ πάνυ ἐπιτυχῶς ἐν τῇ ἱστορίᾳ τῆς ἑλληνικῆς γλώσσης ἀποδεῖξαι πεπείραται, ἡ δὲ διεξοδικωτέρα ἐκ παραλλήλου ἔρευνα τῆς ἑλληνικῆς γλώσσης ἐν διαφόροις ἐποχαῖς κατάδηλον δήπου ποιήσει.

---

1) Ἴδε Miklosich, Die slavischen Elemente im Neugriechischen. Wien 1870. ἰδίως σελ. 5 ἐπ.

2) Ἴδε καὶ A. Leskien ἐν Kuhn's Zeitschrift für vergleichende Sprachforschung. Bd. XXI, σελ. 280 ἐπ. 1873.

Lipsiae, typis Breitkopfii & Haertelii.